ythology Photography Fiction Fishi
Christianity Art Cooking Essays
ddhism Freemasonry Medicine Biol
Music Ancient Egypt Evolution
Geometry Physics Geology
Mathematics Fitness Shakespeare
Marketing Engineering
Immortality Biographies Poetry

Forgotten Books

www.forgottenbooks.com

Psychology Witchcraft Electronics
Chemistry History Law Accounting
ilosophy Anthropology Alchemy Dra
Quantum Mechanics Atheism Sexu
ional Health Ancient History Crimi
Entrepreneurship Languages Sport
Paranormal Networking Islam
Metaphysics Investment Archaeology

Copyright © 2016 FB &c Ltd.

All rights reserved. No part of this publication may be reproduced, distributed, or transmitted in any form or by any means, including photocopying, recording, or other electronic or mechanical methods, without the prior written permission of the publisher, except in the case of brief quotations embodied in critical reviews and certain other noncommercial uses permitted by copyright law.

J. Addison.
30.v.32.

SCRIPTORES METRICI GRAECI.

8464.

EDIDIT

R. WESTPHAL.

VOL. I.

HEPHAESTIONIS
DE METRIS ENCHIRIDION ET DE POEMATE LIBELLUS
CUM SCHOLIIS ET TRICHAE EPITOMIS,
ADJECTA PROCLI CHRESTOMATHIA GRAMMATICA.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXVI.

PA
411
W4

LIPSIAE: TYPIS B. G. TEUBNERI.

HEPHAESTIONIS ALEXANDRINI

DE METRIS ENCHIRIDION ET DE POEMATE LIBELLUS

CUM

SCHOLIIS.

Inter Hephaestionei enchiridii exempla optimae auctoritatis sunt tres libri manuscripti: primus Cantabrigiensis [*C*] qui in Caiio-Gonvilliensis collegii bibliotheca servatur, secundus Cantabrigiensis alter [*c*] e I. Mori copiis in publicam Cantabrigiensium bibliothecam illatus, tertius unus ex multis Parisinis quem cum Th. Gaisfordio littera *P* signavimus. Quorum priores duo ubivis fere inter se consentientes videmus, quamquam de paucis tantum libri c lectionibus Bentleii cura qui eum inspexit certiores facti sumus; at vero etiam Parisinum, licet nonnumquam distet lectione, ex eodem fonte cum illis derivatum esse pro certo affirmari potest. Subsequuntur libri tres vel potius quatuor qui inprimis eo consentiunt ut scholiorum veterum congeriem, omissam eam in reliquis, exhibeant: liber nunc ut videtur deperditus ad cuius fidem Turnebianum exemplum Parisiis anno 1553 editum est [*Tu*], duo Oxonienses Bodleianae bibliothecae, alter olim Saibantianus [*S*], alter Meermannianus a Gaisfordio littera E signatus, in quo quae a prima manu scripta leguntur, signo *M*, quae ad marginem adscripta sive lineis suprascripta sunt (fluxerunt autem haec ex inferioris classis libro) signo *M2* notavimus; quibus accedit liber Darmstadiensis ex quo

perpauca a Bastio delibata sunt, nam huic quoque egregia illa veterum scholiorum collectio, quam ab altera scholiorum collectione littera A distinximus, adiecta est. In ipsius autem Hephaestionis verbis tradendis mirum quantum libri Tu et M a Saibantiano aliquantum discrepantes conspirent, omnes autem tres (nam de Darmstadiensi nos non possumus iudicare) satis bonae notae libri habendi atque cum Cantabrigiensibus et Parisino in priorem eamque meliorem Hephaestionis librorum classem referendi sunt. Accedit enim inferior classis deductorum ex uno exemplo cuius librarius in genuinis prototypi verbis describendis pessima negligentia versatus est, nisi quod in extremo enchiridio et in libello de poematis rem accuratius tractavit. Cuius exempli multa apographa propagata sunt: liber Norfolciensis bibliothecae reg. soc. Lòndin. [*N*]; Harleianus musei Britannici [*H*]; Barocciani tres Bodleianae bibliothecae *B*72, *B*115, *B*165 qui ubi idem legunt sola littera [*B*], omissis numeris, signati sunt; libri Monacensis et Vratislaviensis aut alter ex altero, aut uterque ex eodem tertio in quo capitum ordo turpissime turbatus legebatur descriptus. Nec vero hoc in numero omittendus est ad quem editio princeps Iuntina Florentiae anno 1526 expressa est liber *Fl*, quem quasi totius huius gregis ducem interdum hoc signo [*Fl*...] pro aliis eiusdem familiae libris communis lectionis testem fecimus. In universum autem quomodo scripta exempla principesque editiones conspirent lectione distentve, commode lectori hoc stemmate proponetur:



Haec de codicibus de quorum lectione quae cognita habemus, ea Thomae Gaisfordio qui Hephaestionea cum Scholiis bis edidit debemus. Nos novam eamque in Germania primam editionem parantes potissimum id egimus ut commodior ea quam Gaisfordianis ad Hephaestionis et scholiographorum doctrinam aditus patefieret, in qua re fore ut haud male nos de lectoribus meruerimus rei metricae studiosis speramus. Iisdem autem subsidiis quibus Gaisfordius*) adiuti fa-

---

*) In indice librorum quorum ope editionem suam confecerit Gaisfordius praeter eos quos supra diximus, etiam hos offert:

„*D.* Editio Turnebiana cum ms. collata quam in Vanno critica laudat D'Orvillius. Huius usum mihi obtulit vir doctissimus C. Burneius." Huius libri lectiones omnino ut par erat omisimus.

„*Bentl.* Notulae quaedam ad marginem exemplaris Turnebiani adscriptae manu R. Bentleii in bibliotheca coll. SS.

cere non potuimus quin enchiridii scholiorumque lectiones centum fere locis a Gaisfordio discrepantes aut e libris eligendo aut coniectura divinando emendaremus; qui loci ne lector incertus esset quid novi editoris, quid Gaisfordii esset aliorumque criticorum, in adnotatione critica hoc modo a nobis indicati sunt ut exempli causa sic scriberemus: „εἰς τόπον μακρᾶς] ἐ. τ. μακρὸν *libb.Gaisf.*“ h. e. veterum librorum lectionem εἰς τόπον μακρὸν quae etiam Gaisfordiana est repudiantes, correximus scribendo εἰς τόπον μακρᾶς, vel sic: „*Ἑστία CcP, Ἱστία rell.Gaisf.*“ h. e. nos libros CcP secuti *Ἑστία* scripsimus pro eo quod in reliquis libris et apud Gaisfordium est *Ἱστία*.

Superest ut de scholiorum edendorum modo ac ratione pauca dicamus. In qua re Gaisfordius quidem hanc viam ingressus est, ut cum duplex sit scholiorum collectio, altera [A] librorum SMTu, altera [B] omnium fere librorum communis, posteriori B licet maximam partem nihil hac nisi prava Byzantinorum doctrina contineretur, amplissimos spatiosae chartae honores concederet, contra egregia prioris collectionis scholia tam minutis litteris quae vix optimorum oculorum acie dignosci possent expressa in tristes infimae paginae angustias relegaret. Sic illa velut in carcere inclusa detinentur, ex quo tamen saepissime huc illuc

---

Trin. Cant. adservatae. Harum descriptionem industriae debeo P. P. Dobraci.“

„*L. Hotchkis.* Hephaestionis enchiridii ex mss. omnibus Anglicanis emendatum et commentario illustratum, nondum tamen typis exscriptum studio Leonardi Hotchkis.“

„*Tyrwhitt.* Notulae quaedam manu Tyrwhitti ad marginem exemplaris ed. Pauw. penes cl. Burneium adscriptae.“

erumpunt ut ampliorem sive inter scholia B sive inter Longini prolegomena locum inveniant: velut e pag. 1 posterioris Gaisfordianae editionis scholium quod scriptum extat ad *βραχεῖά ἐστι*, e pag. 3 schol. ad *ἢ ἓν διπλοῦν*, e pag. 4 alterum scholium ad *ἐν τῇ ἑξῆς*, e pag. 5 scholia ad *γίνεται*, e pag. 9 scholium alterum ad *ἀμυσχρόν*. Iam undecunque haec scholia ex diversis Gaisfordiani libri partibus conquirite! Nolite tamen virum doctum negligentiae accusare, etenim tam larga est scholiorum A copia, ut vel invito Gaisfordio ex marginis finibus quibus circumscribere eam voluit egressa sit. Nos vero ne tantas lectori in scholiis conquirendis molestias pararemus, e tenebricosis angustiis ea in claram lucem reduximus. Absolutum enim ipsum enchiridium et de poemate libellum interiectis Longini prolegomenis coniuncta scholia A et B, ad singula enchiridii capita quae iis illustrantur ita disposita suscipiunt, ut in unoque scholiorum capite priorem teneant locum ut par est prioris, posteriorem posterioris collectionis scholia. Nec ullus in hac re lector errabit, nam satis dilucide utraque capitis pars suam prae se fert inscriptionem: *ΣΧΟΛΙΑ A*, *ΣΧΟΛΙΑ B*, singulis autem scholiis praepositi sunt numeri qui in ipso enchiridio ad ea quae illis scholiis explicantur verba repetuntur.

ΗΦΑΙΣΤΙΩΝΟΣ

ΕΓΧΕΙΡΙΔΙΟΝ ΠΕΡΙ ΜΕΤΡΩΝ

ΚΑΙ

ΠΕΡΙ ΠΟΙΗΜΑΤΩΝ.

METRICI GRAECI.

Ἡφαιστίων Ἀλεξανδρεὺς γραμματικὸς ἔγραψεν ἐγχειρίδια περὶ μέτρων, καὶ μετρικὰ διάφορα, περὶ τῶν ἐν ποιήμασι ταραχῶν, κωμικῶν ἀπορημάτων λύσεις, καὶ τῶν μέτρων τοὺς ποδισμούς, καὶ ἄλλα πλεῖστα. Suid.

Ἰστέον δὲ ὅτι πρῶτον ἐποίησε περὶ μέτρων $\overline{\mu\eta}$ βιβλία. εἶθ' ὕστερον ἐπέτεμεν αὐτὰ εἰς ἕνδεκα· εἶτα πάλιν εἰς τρία· εἶτα πλέον εἰς ἓν τούτου τοῦ ἐγχειριδίου. Long. prol. § 10.

ΗΦΑΙΣΤΙΩΝΟΣ
ΕΓΧΕΙΡΙΔΙΟΝ ΠΕΡΙ ΜΕΤΡΩΝ.

Α. ΠΕΡΙ ΣΥΛΛΑΒΩΝ.

Κεφ. α΄. Περὶ ποσότητος συλλαβῶν.

(1) *Βραχεῖά ἐστι συλλαβὴ*[1] *ἡ ἔχουσα βραχὺ φωνῆεν, ἢ βραχυνόμενον, μὴ ἐπὶ τέλους λέξεως, οὕτως ὡς μὴ εἶναι μεταξὺ τούτου τοῦ φωνήεντος καὶ τοῦ ἐν τῇ ἑξῆς συλλαβῇ σύμφωνα πλείονα ἑνὸς ἁπλοῦ, ἀλλ' ἤτοι ἕν, ἢ μηδὲ ἕν.*

(2) *Μακρά ἐστι συλλαβὴ*[2] *ἡ ἔχουσα μακρὸν φωνῆεν, ἢ μηκυνόμενον, ἢ μίαν τῶν καλουμένων διφθόγγων, οὕτως ὡς ἑξῆς εἶναι σύμφωνον*[3] *ἤτοι τελικὸν αὐτῆς τῆς συλλαβῆς, ἢ τῆς ἑξῆς ἀρκτικόν, οἷον, θής, θώς, παῖς, ναῦς· εἰ δὲ μή, οὐκ εἰσὶν ἄντικρυς μακραί, ἀλλὰ κοιναί, ὡς ἑξῆς ῥηθήσεται.*

(3) *Θέσει μακραὶ γίνονται,*[4] *ὅταν βραχέος ὄντος ἢ βραχυνομένου φωνήεντος σύμφωνα πίπτῃ μεταξὺ αὐτοῦ τε καὶ τοῦ τῆς ἑξῆς συλλαβῆς*[5] *·φωνήεντος*

6 *τέλους* PCN scholl., *τέλει* Fl 8 *ἑνὸς ἁπλοῦ* om. N 11 *τῶν καλουμένων διφθόγγων* CPMTu, *διφθόγγων καλουμένων* N, *τὴν καλουμένην δίφθογγον* Fl 14 *θής, θώς*] *θῆς θῶς* B Fl *παῖς, ναῦς*] *καὶ ναῦς* CPM, *κᾶι ι. ναῦς* S, *παὶς καὶ ναῦς* TuM2, *ναῦς παῖς* FlB 16 *θέσει* CPSHBFl, *θέσει δὲ* Tu. 18 *αὐτοῦ τε καὶ τοῦ τῆς ἑξῆς συλλαβῆς* HBPl, *αὐτοῦ καὶ τοῦ ἐν τῇ ἑξῆς συλλαβῇ* MTuS, *τὰ — φωνήεντα* C

πλείονα ἑνὸς απλοῦ, ἢ ἓν διπλοῦν.[6] Γίνεται δὲ τοῦτο καὶ ἀεὶ ῥᾳδίως κατὰ πέντε τρόπους· ἤτοι γὰρ λήξει εἰς δύο σύμφωνα, οἷον

Τίρῡνς, οὐδέ τι τεῖχος ἐπήρκεσε

Κἀκεῖνος ἐν σάλεσ(σ)ι (πολλοῖς) ἥμενος μάκᾱρς ἀνήρ. (Alkm. 10)

καὶ Τιμοκρέοντος ἐκ τῶν ἐπιγραμμάτων,

Ὦι ξυμβουλεύειν χἐρς ἄπο, νοῦς δὲ πάρα. (9)

καὶ Ἐμπεδοκλῆς,

Ἄλς ἐπάγη ῥιπῇσιν, ἐωσμένος ἠέλιοιο (206) (5C)

ἢ ἐν τῇ ἑξῆς[7] ἐστι ταῦτα συλλαβῇ, οἷον

Ἕκτωρ δ' ἐν κλισίῃσιν

ἔνθα καὶ δεῖ[8] παρατηρεῖν μὴ τὸ μὲν πρότερον ἄφωνον ᾖ, τὸ δὲ δεύτερον ὑγρόν,[9] αἱ γὰρ τοιαῦται κοιναί, ὡς ἑξῆς εἰρήσεται· ἢ λήγει μὲν εἰς ἕν, ἔχει δὲ καὶ τὴν ἑξῆς ἀρχομένην ἀπὸ ἑτέρου, οἷον ἄλ-λος· ἢ εἰς διπλοῦν λήγει, οἷον, ἔξ· ἢ τὴν ἑξῆς ἔχει ἀπὸ διπλοῦ ἀρχομένην, οἷον ἔ-ξω.

1 τὸ πλείονα ἑνὸς ἁπλοῦ διὰ τὰ διπλᾶ ἢ θέσει μακρά S, ἢ ἓν διπλοῦν om. CPSM 2 καὶ ἀεὶ ῥᾳδίως om. MTu, κατὰ πέντε τρόπους MTu, om. rell, κατὰ πέντε τρόπους καὶ ἀεὶ ῥᾳδίως Gaisf. λήξει CPSM, λήγει Fl.Gaisf. 4 Τίρυνς οὐδέ τι TuHN, T. καὶ οὐδέ τι CPM, T. καὶ οὐκέτι FlBM2. ἐπήρκεσε] ἐπήρκες FlB 5 κἀκεῖνος CTu, καὶ 'κεῖνος M, καὶ κεῖνος H BFl, σάλεσι κείμενος γρ. ἥμενος M2, cf. Apoll. Dysc. ed. Bekker in Wolfii et Buttmanni mus. antiq. stud. 1, 2, 333 αἱ διάλεκτοι ἀφαιροῦσι καὶ πλεονάζουσι· ἑορτὴ ὁρτή ... Ἀλλὰ καὶ Ἀλκμὰν ἀ μάκαρς ἐκεῖνός φησιν, et mox Δωριεῖς τῆνος ..., σπανίως διὰ τοῦ κ· καὶ κῆνος ἐν σάλεσιν πολλοῖς ἥμενος Ἀλκμάν. Pauw σάλεσσι. 6 Τιμοκρέοντος ἐκ τ. ἐπιγρ. CPSMTu, Τιμοκρέων ἐν τοῖς ἐπιγράμμασιν Fl 7 χἔρς M, χέρσ' TuP, χερσίν σ' C, σὲρς S, σέρς ἀπὸ ν. HBFl, σερσ' ἀποίνους N δὴ πάρα NHBFl 9 ἐπάγη] ἐπάγει P, ἐπάγει Fl..., ἐωσμένος M Tu, ἔωσμενως C, ἔως μενος Fl, ἔως μένος Gaisf. 10 ταῦτα om. FlTu 11 δ' ἐν κλισίῃσιν om. Gaisf. 15 ἀρχομένην ἀπὸ ἑτέρου — διπλοῦν λήγει] ἀπὸ συμφώνου ἀρχομένην ἑτέρου C

(4) *Κοινὴ γίνεται συλλαβὴ*[10] *κατὰ τρόπους τρεῖς*[11]· *ἤτοι ὅταν μακρῷ φωνήεντι, ἢ μηκυνομένῳ, ἢ δι-* 6
φθόγγῳ ἐπιφέρηται φωνῆεν, οἷον

Ἄνδρα μοι ἔννεπε μοῦσα (πολύτροπον, ὃς μάλα πολλὰ)
πλάγχθη, ἐπεὶ Τροίης (ἱερὸν πτολίεθρον ἔπερσε.) om. C.
(καὶ)
τοῦ κέρα ἐκ κεφαλῆς (ἑκκαιδεκάδωρα πεφύκει.)[12] (Δ 109)

Ῥᾷον μὲν[13] *οὖν γίνεται ἡ τοιαύτη κοινή, εἴγε ἡ συλ-*
λαβὴ εἰς μέρος λόγου εἴη πεπερατωμένη, ὡς ἐν τοῖς ἢ C.
προκειμένοις παραδείγμασι· σπανιώτερον δὲ ἐπὶ μέ-
σης λέξεως. Οὐ μὴν ἀλλ' ὅμως εὑρίσκεται, καὶ μά-
λιστα ἐν τοῖς ἄλλοις μέτροις· ἐν μὲν ἰαμβικῷ, Αἰ- 7
σχύλος ἐν Νιόβῃ (15-5)

οἶστρος τοιαύτας[14] *παρθένους λοχεύεται* [ ] C.

καὶ Σοφοκλῆς °
οὐδ' ἂν τοιαύτην γλῶσσαν om. C.
καὶ μὴν καὶ Ἀριστοφάνης
εἴπερ ποιήσω

ἐν δὲ ἰωνικῷ[15] *τῷ ἀπὸ μείζονος, Σωτάδου ἐξ Ἀδώ-*
νιδος τόδε,

τίνα τῶν παλαιῶν ἱστοριῶν θέλετ' ἐσακοῦσαι.

ἐν δὲ ἀντισπαστικῷ Ἀνακρέοντος, (1)

ἤ κου νῦν ἐπὶ Ληθαίου[16].

2 *ἢ μηκυνομένῳ* CPM, *ἢ διχρόνῳ μηκυνομένῳ* FlTu 4 „Loca uncinis inclusa ignorant codices quidam" Gaisf. 8 *κοινὴ* CPMTu, *κοινὴ συλλαβὴ* Fl. 9 *λόγου εἴη*] *λ. ἢ* CPSM 12 *ἐν τοῖς ἄλλοις μέτροις*] *ἐν τοῖς τριμέτροις* C 14 *ἵστρος τοιαύτας παρθένους* CPSM, *ἶστρος τοιαύτας παρθένου* Prisc. 1, 562 P., *οἶστρος τοιαύτης παρθένου* MTuFl. 15 *καὶ Σοφοκλῆς* — 18 *εἴπερ ποιήσω* CcP, om. rell. 19 *τῷ* om. MTu, *τὸ* S 20 *τόδε* om. M. 23 *ἤ κου* Bergk, *ἤκου* CPS, *ἵκου* MTu, *οἴκου* NHBFl.

For additional references to this first way in which a κοινὴ συλλαβή is created see Thomson

(5) *ἐν δὲ τοῖς ἔπεσι σπανιώτερον, ὥστε τὸ τοῦ Ἀρχελάου ὄνομα Σοφοκλῆς ἐν ταῖς ἐλεγείαις οὐκ ᾤετο ἐγχωρεῖν οὔτε εἰς ἔπος οὔτε εἰς ἐλεγείαν. Φησὶ γοῦν,*

Ἀρχέλεως· ἦν γὰρ σύμμετρον ὧδε λέγειν. (1)

Καὶ Παρθένιος δὲ ἐπικήδειον εἰς Ἀρχελαΐδα γράφων ἐλεγειακὸν τὸν τελευταῖον μόνον στίχον ἀντὶ ἐλεγείου ἰαμβικὸν ἐποίησεν, ἐν ᾧ τὸ ὄνομα ἐρεῖν ἔμελλεν,

Ἀμυσχρὸν οὔνομ' ἔσσετ' Ἀρχελαΐδος[17]. (2)

Διὰ τοῦτο καὶ παρ' Ὁμήρῳ συστέλλομεν τὴν

Πηνελέοιο[18] *ἄνακτος.* (Ξ 489)

Ῥίνθων μὲν γὰρ καὶ ἐν ἰάμβῳ ἐπισημασίας ἠξίωσε τὸ τοιοῦτον· ἐν γὰρ Ὀρέστῃ δράματί φησιν, (10)

Ὡς σὲ Διόνυσος αὐτὸς ἐξώλη θείη·
Ἱππώνακτος τὸ μέτρον, οὐδέν μοι μέλει.

καὶ Εὐριπίδης ἐν Ἑκάβῃ
πάθη ταλαίνης ἐξαπαλλάξαι ζωῆς.

(6) *Ὅμως μέντοι καὶ ἐν ἔπεσιν εὑρίσκεται, ὡς παρὰ Θεοκρίτῳ* (xi. 18)

ὑψηλᾶς ἐς πόντον ὁρῶν ἄειδε τοιαῦτα
καὶ παρ' Ὁμήρῳ

1 *ὥστε* P, *οὕτως ὥστε* SM, *οὕτως ὡς* rell. 2 *ὄνομα* om. HBFl. 3 *οὔτ' εἰς ἔπος οὔτ' ἐλεγείαν* Tu. *γοῦν ὁ Σοφοκλῆς* MTu 4 *γὰρ τὸ σύμμετρον* C 5 *γράφων*] *γράφει* HBFl. 7 *ἐρεῖν ἔμελεν* P, *εὑρεῖν ἔμελλεν* N 10 *συστέλλομεν τὴν*] *συστέλλεται τὴν μὲν* N 11 *Πηνελάοιο* M1Tu 14 *ὡς σὲ*] *ὅσε* PS, *ὅτε* schol. S, *ὁ* Tu, *ὅδε* Fl *Διώνυσος* C, *Διονύσιος* schol. S *θείης* Fl 15 *Ἱππώνακτος κτλ.* Choerobosc. in Theod. 553, Herod. ap. Valckenaer. ad Phoen. 1508. *εἴθ' Ἱππώνακτος* CcP, *εἰ θ' Ἱπ.* TuM(?), *εἴ δ' Ἱπ.* Fl *οὐ μοι* TuFl *μέλλοι* vel *μέλλει* Fl 18 *παρὰ Θεοκρίτῳ καὶ φησὶ* libb. nonnulli 20 *ὁρῶν γὰρ ἄειδε* C 21 *καὶ παρ' Ὁμήρῳ — λέγεσθαι* om N

οἶδ' ἀρετὴν οἷός ἐσσι, τί σε χρὴ ταῦτα λέγεσθαι (*N* 275).

καὶ παρ' Ἀνακρέοντι ἐν ἐλεγείαις (9ς)

οὐδέ τί τοι πρὸς θυμόν, ὅμως γε μὲν ὡς ἀδοιάστως.

Ἐπὶ μὲν γὰρ τῶν τοιούτων

σοὶ ναίουσ' ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι, (*Π* 235)

καὶ

ἕδμεναι οἷα σύες χαμαιευνάδες αἰὲν ἔδουσιν, (κ 243)

ἴσως διὰ τὸ φαντασίαν τινὰ παρέχειν τοῦ ἀπηρτίσθαι τὴν λέξιν ἐν τῷ χαμαί, ὡς μία ἡ χαμὶαὶ ἀκούεται· τῇ μέντοι γε υι διφθόγγῳ ἐὰν παρακολουθήσῃ τὸ τοιοῦτον, τελείως τραχὺς ὁ στίχος γίνεται, οἷον

Ἕκτορ υἱὲ Πριάμοιο [19] (*H* 47). (Λ200, 0244)

(7) Δεύτερος δέ ἐστι τρόπος[20], ὅταν βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι ἐπιφέρηται ἐν τῇ ἑξῆς συλλαβῇ [12] σύμφωνα δύο, ὧν τὸ μὲν πρῶτον ἄφωνόν ἐστι, τὸ δὲ δεύτερον ὑγρόν· οἷον, ὅπλον, ἄκρον,

Πάτροκλέ μοι δειλῇ (*T* 287)

ὅταν δὲ τὸ προηγούμενον ἡμίφωνον[21] ᾖ, οὐκέτι κοινή ἐστιν ἡ προκειμένη, ἀλλὰ τελέως μακρά. Προτάσσεται δὲ ἡμίφωνον ὑγροῦ, τὸ μὲν μ τοῦ ν, οἷον ἀμνός· τὸ δὲ σ τοῦ μ, οἷον, ἑσμός· καὶ τὸ σ τοῦ λ κατὰ πάθος, ὡς ἐν τῷ μάσλης· καὶ σπανίως τοῦ ν, ὡς ἐν τῷ Πάσνης καὶ Μάσνης, ἃ δὴ ὀνό-

3 ἀδοιάστως] ἀδιάστως BFl 6. 7 καὶ πάλιν ἕδμεναι Tu καὶ ἕδμεναι — ὡς μία ἡ χαμαὶ om. N 8 ἴσως] ἴσθι C ἀπηρτίσθαι] ἀπαρτίσθαι C, ἀπηρτῆσθαι BFl 9 λέξιν ὡς ἐν τῷ χαμαὶ C, ὡς μία ἡ χαμαὶ om. C 10 μέντοι γε διφθ. Tu, μέντοι υι διφθ. Fl 12 Ἕκτωρ C 13 Δεύτερός ἐστι MTu 16 ὑγρόν] ἀμετάβολον B72 18 δὲ προηγούμενον MTu 19 τελέως] τελείως M 21 τὸ δὲ σ τοῦ μ om. CP οἷον ἑσμός om. P, ὡς ἐν τῷ ἑσμός M καὶ τὸ σ] τὸ δὲ σ P 22 μάσλης CPM, ἀμάσλης TuFl 23 Πάσνης καὶ Μάσνης C, Πάνσης κ. Μ. P, Πάσνης κ. Ἄσνης Tu, Μάσνης HBPl

(8)

ματα παρὰ Ξάνθῳ εἰσὶν ἐν τοῖς Λυδιακοῖς. Ἤδη 13
μέντοι ἡ διὰ τοῦ μν σύνταξις ἐποίησέ που καὶ βραχεῖαν, ὡς παρὰ Κρατίνῳ ἐν Πανόπταις, (154)

Ἀλλοτριογνώμοις, ἐπιλήσμοσι, μνημονικοῖσι —

καὶ παρ' Ἐπιχάρμῳ ἐν Μεγαρίδι, (91)

εὔυμνος[22] καὶ μουσικὰν ἔχουσα πᾶσαν φιλόλυρος
[Ἠχή.]

c. †ἦχε καὶ παρὰ Καλλιμάχῳ 14

τὼς μὲν ὁ Μνησάρχειος ἔφη ξένος (ὧδε συναινῶ)

Ἐὰν μέντοι ἐν τῇ προτέρᾳ συλλαβῇ τελικὸν ᾖ τὸ ἄφωνον[23], τῆς δὲ δευτέρας ἀρκτικὸν τὸ ὑγρόν, οὐκέτι γίνεται κοινὴ συλλαβὴ ἀλλ' ἄντικρυς μακρά, ὡς παρὰ Ἀλκαίῳ (95)

ἔκ μ' ἔλασας[24] ἀλγέων,

(καὶ παρ' Ὁμήρῳ) 15

ἐκ ῥ' ἀσαμίνθου βάντες (ρ 90).

(9) Φησὶ δὲ ὁ Ἡλιόδωρος[25] τὸ μ̄ ἐπιφερόμενον ἀφώνῳ ἧττον τῶν ἄλλων ὑγρῶν κοινὰς ποιεῖν ἐν τοῖς ἔπεσι 15
<τὰς> συλλαβάς. Διὰ τοῦτο καὶ Κρατῖνος ἐν τοῖς Χείρωσι
πεποίηκε, (235)

σκῆψιν μὲν Χείρωνες ἐλήλυμεν, ὡς ὑποθήκας[26]

ἐλήλυθμεν ἀντὶ τοῦ ἐληλύθαμεν, ὅπερ ἐξηλέγξαμεν ψεῦδος[27] 16
c. ὄν· πρὸς γὰρ τῷ μυρίαν εἶναι τὴν χρῆσιν παρὰ

1 *Λυδικοῖς* C 4 *ἀλλοτριογνώμης ἐπιλήσμοσιν* HBFl 6 *ἄνυμνος* P *ἔχουσα* CHBFl *φιλόληρος* HBFl, *φιλόχορος* D 9 *ὧδε συναινῶ* add. Prisc. p. 542. 551. 572, om. libb. Heph. 10 *Ἐὰν*] *κἂν* Tu 11 *ἀρκτικὸν* CPSM, *ἀρχικὸν* TuFl 14 *ἔκ μ' ἔλασας*] *ἔκμελ' ἄσας* P, *ἔκ με λάσας* Bentl.Gaisf. 15 *καὶ παρ' Ὁμήρῳ* om. libb. 17 *τὸ μὲν ἐπιφερόμενον* P *ἀφώνῳ* CPMTu, *ἄλλῳ* NHBFl 18 *ὑγρῶν*] *ὑγρὸν* BFl 19 *συλλαβὰς μᾶλλον δὲ μακράς* C, marg. P 21 *μὲν ὦ Χείρωνες* CP, *μὲν Χείρωνι* N *ἐλήλυθμεν* Fl 22 *ἀντὶ τοῦ ἐλήλυθμεν* P 23 *γὰρ τὸ μυρίαν* PS

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται (ι 109)
καὶ μὲν οἱ Λύκιοι τέμενος τάμον (Z 194)

ἐνταῦθα καὶ εἰς μέρος λόγου ἡ κοινὴ ἔληξε, καὶ εἰς τὴν τοῦ ποδὸς τελευταίαν ἔληξεν. αἱ γὰρ ἄλλαι 18
5 κοιναί, ἃς εἶπον, ἀρκτικαὶ ποδῶν ἦσαν· αὕτη δὲ καὶ τοῦ ποδὸς καὶ τῆς λέξεως ληκτική, λέγω δὲ ἡ μεν.

Κεφ. β'. Περὶ συνεκφωνήσεως.

(1) Συνεκφώνησίς[1] ἐστιν, ὁπόταν δύο συλλαβαὶ
10 σύμφωνον μὴ ἔχουσαι μεταξὺ ἀλλήλων ἀντὶ μιᾶς παραληφθῶσι.

(2) Τρόποι δέ εἰσι τῆς συνεκφωνήσεως οἵδε· 19
ἢ γὰρ δύο μακραὶ εἰς μίαν μακρὰν παραλαμβάνονται, ὡς τὸ

ἢ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις (E 349)
15 καὶ πάλιν
βουκόλ' ἐπεὶ οὔτε κακῷ οὔτ' ἄφρονι φωτὶ ἔοικας (υ 227)

ἢ βραχεῖα καὶ μακρὰ εἰς μίαν μακρὰν
ἐπειδὴ δ' εἰς νῆάς τε Ἑλλήσποντον ἵκοντο (Ψ 2)
καὶ πάλιν
πλέων ἐπὶ οἶνοπα πόντον (α 183)

ἢ δύο βραχεῖαι εἰς μίαν μακρὰν 20

3 καὶ εἰς τὴν τοῦ ποδὸς] εἰς τὴν om. CPSM 4 τελευταίαν ἔληξεν CM, τελευταία ἔληξεν, τελευτὴν ἔληξεν Tu, ἔληξεν om. FlGaisf. 5 ἀρκτικαὶ ποδὸς CPSMTu, ἀρκ. ποδῶν Fl 6 καὶ τῆς λέξεως om. CPSM1 ληκτικὴ] ἀρκτικὴ N λέγω δὲ ἡ μεν om. M1Tu, καὶ μὲν CcPS 12 — pag. 11, 1 sicut dedimus, in TuM leguntur. HNBFl haec habent: Τρόποι — οἵδε· ἢ γὰρ μακραὶ εἰς μίαν μακρὰν παραλαμβάνονται οἷον ἢ οὐχ ἅλις ὅτι γυναῖκας ἀνάλκιδας ὑπεροπεύεις (καὶ βουκόλ' ἐπεὶ οὔτε κακῷ om. N) ἢ βραχεῖα καὶ μακρὰ εἰς μίαν μακράν. νέα μέν μοι κατέαξε Ποσειδάων ἐνὶ πόντῳ. πλέων ἐπὶ οἶνοπα πόντον. 22 — pag. 11, 1 om CP

νέα μέν μοι κατέαξε Ποσειδάων ἐνὶ πόντῳ (ι 283)

(3)*ἢ δύο βραχεῖαι εἰς μίαν βραχεῖαν· ὅπερ ἐν τοῖς ἄλλοις εὑρίσκεται μέτροις, ὡς παρὰ Σωτάδῃ ἐν τῇ Ἰλιάδι,*[2]

σείων μελίην Πηλιάδα δεξιὸν κατ' ὦμον.

ἐν δὲ τοῖς ἔπεσι σπανίως· ὥσπερ Κριτίας ἐν τῇ εἰς Ἀλκιβιάδην ἐλεγείᾳ οὐκ ᾤετο ἐγχωρεῖν τοῦ Ἀλκιβιάδου τὸ ὄνομα, φησὶ γὰρ (3)

καὶ νῦν Κλεινίου υἱὸν Ἀθηναῖον στεφανώσω,
Ἀλκιβιάδην νέοισιν ὑμνήσας τρόποις,
οὐ γάρ πως ἦν τοὔνομ' ἐφαρμόζειν ἐλεγείῳ,
νῦν δ' ἐν ἰαμβείῳ κείσεται οὐκ ἀμέτρως.

Ἔστι μέντοι καὶ ἐν ἔπει, ὡς παρὰ Κορίννῃ ἐν τῷ πέμπτῳ,[3] (9)

ἢ διανεκῶς[4] *εὕδεις, οὐ μὰν πάρος ἦσθα Κόρινna.*

καὶ παρὰ Προξίλλῃ ἐν διθυράμβοις ἐν ᾠδῇ ἐπιγραφομένῃ Ἀχιλλεύς, (1)

Ἀλλὰ τεὸν οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον,

(4) *τὰ μὲν γὰρ τοιαῦτα,*

καὶ ψ̓χ', ἑκατόγχειρον καλέσασ' (*A* 402)

θῖν' ἐφ' ἁλὸς πολιῆς (*A* 350 N 682 Ξ 31)

(5)

οὐ μᾶλλον συνεκφωνησιν ἔχει ἢ συναλοιφήν· ἔστι δ' ὅπου καὶ βραχεῖα καὶ κοινὴ ἀντὶ βραχείας παραλαμβάνονται, ὡς ἐν τῷ

3 *ἐν τῇ Ἰλιάδι* om HBFl 6 *εἰς Ἀλκιβιάδην*] *πρὸς Ἀ.* Fl 7 *τοῦ Ἀλκιβιάδου τὸ ὄνομα* CPMTu, *τὸ τοῦ Ἀλκ. ὄνομα* Fl 9 *Ἀθηναῖον* PB, *Ἀθηναίου* SM 13 *ἐν ἔπει*] *ἐν ἔπεσιν* P, *ἔπει* Fl 15 *διανεκῶς*] *διαννιεκῶς* C *εὕδεις*] *εὕδης* PM 24 *ὅπου καὶ βραχεῖα*] *ὅπου βραχεῖα* M *κοινὴ* CPSMTu, *μακρὰ* FlGaisf. *παραλαμβάνονται* CPS, *παραλαμβάνεται* Fl

Δενδρέῳ ἐφεζόμενοι ὄπα λειριόεσσαν ἰεῖσι (*Γ* 152)
καὶ
χρύσεῳ ἀνὰ σκήπτρῳ. (*Α* 15ξ. 374)

Β. ΠΕΡΙ ΠΟΔΩΝ.

Κεφ. γ'. Περὶ ποδῶν.

(1) *Ἐκ τῶν συλλαβῶν*[1] *εἰσὶν οἱ πόδες*[2]· *ὧν δισύλλαβοι μὲν τέσσαρες,*

δίχρονος μὲν εἷς, ἐκ δύο βραχειῶν, ὁ πυρρίχιος ⏑ ⏑[3]

τρίχρονοι δὲ δύο, ἐκ μακρᾶς καὶ βραχείας, ὁ τροχαῖος – ⏑
ἐκ βραχείας καὶ μακρᾶς, ὁ ἴαμβος ⏑ –[4]

τετράχρονος δὲ εἷς, ἐκ δύο μακρῶν, ὁ σπονδεῖος – –

(2) *Τρισύλλαβοι δὲ οἱ τούτων διπλασίονες, ὄκτω·*

τρίχρονος εἷς, ἐκ τριῶν βραχειῶν, ὁ τριβραχύς, ὁ καὶ χορεῖος ⏑ ⏑ ⏑
τετράχρονοι δὲ τρεῖς, ἐκ μακρᾶς καὶ δύο βραχειῶν, ὁ δάκτυλος – ⏑ ⏑
ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας, ὁ ἀμφίβραχυς ⏑ – ⏑[5]
ἐκ δύο βραχειῶν καὶ μακρᾶς, ὁ ἀνάπαιστος ⏑ ⏑ –

πεντάχρονοι δέ, οἱ ἴσοι τούτοις, τρεῖς·

ἐκ βραχείας καὶ δύο μακρῶν, ὁ βακχεῖος ⏑ – –
ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, ὁ ἀμφίμακρος, ἢ κρητικός – ⏑ –

ἐκ δύο μακρῶν καὶ βραχείας, ὁ παλιμβακχεῖος – – ⏑

ἑξάχρονος δὲ εἷς, ἐκ τριῶν μακρῶν, ὁ μολοττός – – –

(3) Τετρασύλλαβοι δέ οἱ τούτων διπλασίονες ἑνκαίδεκα· ὧν

τετράχρονος εἷς, ἐκ τεσσάρων βραχειῶν, ὁ προκελευσματικός ⏑ ⏑ ⏑ ⏑ [6] 24

πεντάχρονοι δὲ τέσσαρες·

ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν, ὁ παιὼν πρῶτος – ⏑ ⏑ ⏑

ἐκ βραχείας καὶ μακρᾶς καὶ δύο βραχειῶν, ὁ παιὼν δεύτερος ⏑ – ⏑ ⏑

ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας, ὁ παιὼν τρίτος ⏑ ⏑ – ⏑

ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς, ὁ παιὼν τέταρτος ⏑ ⏑ ⏑ – [7]

ἑξάχρονοι δὲ ἕξ· [8]

ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν, ὁ Ἰωνικὸς ἀπ' ἐλάττονος ⏑ ⏑ – – 25

ἐκ βραχείας καὶ δύο μακρῶν καὶ βραχείας, ὁ ἀντίσπαστος ⏑ – – ⏑

ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν, ὁ Ἰωνικὸς ἀπὸ μείζονος – – ⏑ ⏑

ἐκ μακρᾶς καὶ βραχείας, καὶ μακρᾶς καὶ βραχείας, τροχαϊκὴ ταυτοποδία, ἢ τρόχαιος – ⏑ – ⏑

ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, ἰαμβικὴ ταυτοποδία, ἢ διίαμβος ⏑ – ⏑ –

ἐκ μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς, ὁ χορίαμβος – ⏑ ⏑ –

ἑπτάχρονοι δὲ τέσσαρες·

ἐκ βραχείας καὶ τριῶν μακρῶν, ὁ ἐπίτριτος πρῶτος ⏑ – – –

ἐκ μακρᾶς καὶ βραχείας καὶ δύο μακρῶν, ὁ ἐπίτριτος δεύτερος, ἢ καὶ τροχαϊκὴ ἑπτάσημος, ὁ καὶ Καρικός – ⏑ – –

ἐκ δύο μακρῶν καὶ βραχείας καὶ μακρᾶς, ὁ ἐπίτριτος τρίτος, ἢ ἰαμβικὴ ἑπτάσημος, ὁ καὶ Ῥόδιος – – ⏑ –

ἐκ τριῶν μακρῶν καὶ βραχείας, ὁ ἐπίτριτος τέταρτος, ἢ ἀντισπαστικὴ ἑπτάσημος, ὁ καὶ μονογενής – – – ⏑ [9]

ὀκτάχρονος δέ, ἐκ τεσσάρων μακρῶν, σπονδειακὴ ταυτοποδία ἢ δισπόνδειος – – – – [10]. 26

---

15 ΓΕΡΙ ΜΕΤΡΩΝ.

Κεφ. δ'. Περὶ ἀποθέσεως μέτρων.

(1) [1]Ἀκατάληκτα καλεῖται μέτρα, ὅσα τὸν τελευταῖον πόδα ὁλόκληρον ἔχει· οἷον, ὡς ἐπὶ δακτυλικοῦ,

Μῶσ' ἄγε Καλλιόπα θύγατερ Διός. (Alcm 45)

(2) Καταληκτικὰ δέ, ὅσα μεμειωμένον ἔχει τὸν τελευταῖον πόδα· οἷον ἐπὶ μὲν ἰαμβικοῦ, 27

Χαίροισα νύμφα, χαιρέτω δ' ὁ γαμβρός. (Sa. 103)

ἐνταῦθα γὰρ ἡ βρος τελευταία συλλαβὴ ἀντὶ τοῦ ὅλου ποδὸς ἰαμβικοῦ κεῖται. Ἐὰν δὲ τρισύλλαβος

18 οἷον ὡς] οἷον ὡς καὶ C, οἷον N 21 ἐπὶ μὲν ἰαμβικοῦ C, cf. ἐὰν δὲ τρισύλλαβος ᾖ, μὲν om. rell. Gaisf. 22 Χαίροισα νύμφα] Χαίροις ἀνύμφα libb. 23 ἐνταῦθα γὰρ Tu, γὰρ om. rell. ἀντὶ τοῦ ὅλου PS, τοῦ om. rell. Gaisf.

ἢ ὁ ποὺς ὁ τὸ μέτρον συνιστάς, δύναται καὶ παρὰ δύο συλλαβὰς εἶναι τὸ καταληκτικόν· οἷον ἐπὶ δακτυλικοῦ,

Ἐν δὲ Βατουσιάδης. (Archil. 104).

ἐνταῦθα γὰρ ἡ δὴς συλλαβὴ ἀντὶ τρισυλλάβου κεῖται δακτυλικοῦ. Ἐπὶ δὲ τῶν τοιούτων τὸ μὲν παρὰ συλλαβὴν καλεῖται καταληκτικὸν εἰς δισύλλαβον· τὸ δὲ παρὰ δύο συλλαβὰς καταληκτικὸν εἰς συλλαβήν.

(3) Βραχυκατάληκτα δὲ καλεῖται, ὅσα ἀπὸ διποδίας ἐπὶ τέλους ὅλῳ ποδὶ μεμείωται, οἷον ἐπὶ ἰαμβικοῦ,

Ἄγ' αὖτ' ἐς οἶκον τὸν Κλεησίππω. (fr. lyr. adesp. 45)

ἐνταῦθα γὰρ ὁ σιππω ποὺς ἀντὶ ὅλης ἰαμβικῆς κεῖται διποδίας.

(4) Ὑπερκατάληκτα δέ, ὅσα πρὸς τῷ τελείῳ προσέλαβε μέρος ποδός· οἷον ἐπὶ ἰαμβικοῦ,

Εἶμ' ὥστ' ἀπ' ὑσσάκω λυθεῖσα[2]. (fr. lyr. ad. 46)

τοῦτο μὲν οὖν συλλαβῇ πλείονι περιττεύει. Δύναται μὲν οὖν καὶ δισυλλάβῳ περιττεύειν, ὁπόταν ἑκάτερος τῶν ἐν τῇ συζυγίᾳ ποδῶν τρισύλλαβος ᾖ· οἷον ἐπὶ ἀναπαιστικοῦ,

ἄδ' Ἄρτεμις, ὦ κόραι, (Teles. 1)

τοῦτο γὰρ πρὸς τῇ ὁλοκλήρῳ συζυγίᾳ δισύλλαβον ἔσχε τὸν τελευταῖον, ὅπερ ἀναπαίστου μιᾷ ἐνδεῖ συλλαβῇ. Καλοῦνται δὲ ταῦτα πάντα ἀποθέσεις.

5 κεῖται δακτυλικοῦ] κ. δακτύλου Tu, δακτυλικοῦ om. C 8 συλλαβὰς καταληκτικὸν] σ. καλεῖται κ. Tu 11 Ἄγ' αὖτ'] ἄγατ' Cc 12 ποὺς ἀντὶ ὅλης] ποὺς om Tu 16 Εἶμ' ὥστ' ἀπ' ὑσσάκω Bentl.] εἶμ' ὦ ταπυσσάκωλυθεῖσα PS, εἶμ' ὦ τὰ πύσσα κωλυθεῖσα Cc, εἶμ' ὦ ἀπυσσάλω λ. M, εἶμ' ωστ' ἀπὸ πυσσάλω λυεῖσα Fl 17 συλλαβῇ πλείονι CPSMTu, πλείονι συλλαβῇ FlGaisf. 18 μὲν οὖν καὶ] δ' οὖν καὶ FlM2, καὶ om. CPSM 21 κόραι C, κόρα SBFl

(5) *Παντὸς μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβή, ὥστε δύνασθαι εἶναι αὐτὴν καὶ βραχεῖαν καὶ μακρόάν· οἷον*

Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
εὗδον παννύχιοι· Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος (B 1)

ἐν μὲν γὰρ τῷ προτέρῳ μακρά ἐστιν ἡ τελευταία συλλαβή, ἐν δὲ τῷ δευτέρῳ βραχεῖα.

(6) *Πᾶν μέτρον εἰς τελείαν περατοῦται λέξιν, ὅθεν ἐπίληπτά*[3] *ἐστι τὰ τοιαῦτα Σιμωνίδου ἐκ τῶν ἐπι-* 29
γραμμάτων, (131)

ἦ μέγ' Ἀθηναίοισι φόως γένεθ', ἡνίκ' Ἀριστο-
γείτων Ἵππαρχον κτεῖνε, καὶ Ἁρμόδιος.

καὶ πάλιν Νικομάχου τοῦ τὴν περὶ ζωγράφων ἐλεγείαν πεποιηκότος, (PLG II[4] p. 316)

οὗτος δή σοι ὁ κλεινὸς ἀν' Ἑλλάδα πᾶσαν Ἀπολλό-
δωρος· γινώσκεις τοὔνομα τοῦτο κλύων.

ταῦτα μὲν οὖν ἐγένετο διὰ τὴν τῶν ὀνομάτων ἀνάγκην· ου γὰρ ἐνεχώρει. Ἔνια δὲ καὶ παίζουσιν οἱ κωμικοί. ὡς Εὔπολις Βάπταις, (73)

ἀλλ' οὐχὶ δυνατόν ἐστιν· οὐ γὰρ ἀλλὰ προ-
βούλευμα βαστάζουσι τῆς πόλεως μέγα.

9 *ἐπίληπτα*] *ἐπίψογα* marg. P 11 *φόως* SMTu, om. Ç HBFl 13 *τὴν περὶ ζωγράφων* CcM, *περὶ ζ. τὴν* Tu, *τὴν* om. HBFl 16 *γινώσκεις*] *γινώσκειν* Fl 18 *Ἔνια*] *Ἔνιοι* BFl 19 *Βάπταις* PS, *ἐν Β.* rell. 20 *οὐ γὰρ ἀλλὰ* Bentl., *οὐ γὰρ ἄλλο* libb., *ἄλλο τι* Hermann.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

τετράμετρα δέ, οἷον τὸ Ἀλκαίου (56)

δέξαι με κωμάζοντα, δέξαι, λίσσομαί σε, λίσσομαι.

(3) καταληκτικὰ δέ, δίμετρα μέν, ὡς τὸ καλούμενον Ἀνακρεόντειον, οἷον (Anacr. 92)

ὁ μὲν θέλων μάχεσθαι,
πάρεστι γάρ, μαχέσθω.

τρίμετρον δέ, οἷον τὸ Ἀρχιλόχου (116) 33

ὄγμος κακοῦ δὲ γήραος καθαιρεῖ.

τετράμετρον δέ, οἷον τὸ Ἱππώνακτος (90).

εἴ μοι γένοιτο παρθένος καλή τε καὶ τέρεινα.

(4) Ἔστιν ἐπίσημον ἐν τοῖς ἀκαταλήκτοις καὶ τὸ χωλὸν καλούμενον· ὅπερ τινὲς μὲν Ἱππώνακτος, τινὲς δὲ Ἀνανίου φασὶν εὕρημα. Διαφέρει δὲ τοῦ ὀρθοῦ, ᾗ ἐκεῖνο μὲν τὸν τελευταῖον ἴαμβον ἔχει, ἡ πυρρίχιον διὰ τὴν ἀδιάφορον· τοῦτο δὲ ᾗ σπονδεῖον ἢ τροχαῖον· καὶ ὅτι ἐκεῖνο μὲν ἐπὶ τῶν παραληγόντων μετὰ τῶν δισυλλάβων δύο, ἰάμβου καὶ σπονδείου, δέχεται καὶ τρισυλλάβους τὸν δάκτυλον, τὸν τρίβραχυν, καὶ τὸν ἀνάπαιστον· τὸ δὲ χωλὸν οὐ δέχεται τοὺς παραλήγοντας τρισυλλάβους πόδας, οὔτε δάκτυλον, οὔτε τρίβραχυν, οὔτε ἀνάπαιστον· 34 ἀλλὰ μάλιστα μὲν ἴαμβον, ὅτε καὶ εὐπρεπές ἐστιν, ὡς τὸ (Callim. 92).

1 τετράμετρον CPS τὰ Ἀλκαίου C 3 καταληκτικὸν δὲ δίμετρον τὸ καλούμενον CPSMTu 4 οἷον om. CPMTu 7 τρίμετρον — τετράμετρον CPSETu, τρίμετρα — τὸ τοῦ — τετράμετρα — τὸ τοῦ Fl 10 εἴ μοι] ἔμοι CP 11 ἐπίσημα P 12 τινὲς δὲ Ἀνανίου φασὶν εὕρημα CPSMTu, ἄλλοι δὲ Ἀ. εὕρημα φασὶν εἶναι NHBFlGaisf. 15 διὰ τὴν ἀδιάφορον om. C ἢ τροχαῖον om. B 115 biatu relicto 16 καὶ ὅτι ἐκεῖνο — καὶ τὸν ἀνάπαιστον om CPS 17 μετὰ τῶν δισυλλάβων] τῶν om. M ἰάμβου καὶ σπονδείου N, ἰάμβους καὶ σπονδείους rell. 22 ἐστιν ὡς τὸ] ὡς τὸ om. P

ἀκούσαθ' Ἱππώνακτος· οὐ γὰρ ἀλλ' ἥκω,
ἔσθ' ὅτε δὲ καὶ σπονδεῖον, ὅτε καὶ τραχύτερον γί-
νεται, ὡς τὸ (Hipp. 48).
εἰς ἄκρον ἕλκων, ὥσπερ ἀλλάντα ψύχων.

[Ἐπειδὴ δὲ πᾶσα μέτρων ἀρχὴ ἀδιάφορος, καὶ ὁ ἴαμβος ἐδέξατο ἐν ἀρχῇ τὸν σπονδεῖον· τούτου δὲ κοινωνήσαντος τῷ μέτρῳ, καὶ οἱ ἀπ' αὐτοῦ λυθέντες ἐκοινώνησαν· δάκτυλος, ἡμιόλιος, καὶ ἀνάπαιστος· ὁ γὰρ χορεῖος τοῦ ἰάμβου ἐστὶ λύσις. Εἰ τοίνυν τὸν σπονδεῖον ἐν ταῖς ἀρτίαις οὐ δέχεται, οὐδὲ τὸν ἀπ' αὐτοῦ λυθέντα ἀνάπαιστον ὀφείλει δέχεσθαι. Παρὰ μὲν οὖν τοῖς ἰαμβοποιοῖς (καὶ τοῖς τραγῳδοποιοῖς) τοῦτο σώζεται· παρὰ δὲ κωμικοῖς, οὐ λίαν ἀντιποιουμένοις συμμετρίας, οὐκέτι· τὸν δὲ τροχαῖον, ὃς ἀντιπαθεῖ τῷ ἰάμβῳ, παρῃτήσαντο. Εὑρίσκεται δὲ παρὰ τοῖς κωμικοῖς συνεχῶς ὁ ἀνάπαιστος· τὸν γὰρ βίον οὗτοι μιμούμενοι θέλουσι δοκεῖν διαλελυμένως διαλέγεσθαι, καὶ μὴ ἐμμέτρως· ὁ δὲ ἀνάπαιστος διαλελυμένην ποιεῖ τὴν φράσιν διὰ τὸ τετράσημον. Ἰαμβοποιοὶ μέντοι καὶ τραγῳδοποιοί, ὡς μὴ ὄντες τοιοῦτοι, οὐ συνεχῶς κέχρηνται[3].]

Κεφ. ϛ'. Περὶ τροχαϊκοῦ.

(1) Τὸ τροχαϊκὸν[1] κατὰ μὲν τὰς περιττὰς χώρας

2 ὅτε δὲ καὶ PM, δὲ om. rell. τραχύτερος MTu γίνεται ὡς τὸ] ὡς τὸ om. P 4 ἕλκων] ἥκων NHBFl ἀλλάντα C 5—22 om CcP, minoribus litteris exarata habet tanquam scholion M; non Hephaestionis sunt, sed rem metricam male docti interpretis. 5 μέτρων] μέτρον Fl 6 ἐν ἀρχῇ] ἀρχῇ HB72Fl, ἀρχὴν N 8 ἐκοινώνησαν] add. MTu: καὶ οὗτοι τῷ ἰαμβικῷ μέτρῳ 10 ἐν ταῖς ἀρτίαις om. M 12 τοῖς ἰαμβοποιοῖς] τοῖς om. S καὶ τοῖς τραγῳδοποιοῖς om. libb. 16 τοῖς κωμικοῖς] τοῖς om. H 20 τετράσημον] τρίσημον MTu τραγῳδοποιοὶ M, τραγῳδιοποιοὶ rell. 21 οὐ συνεχῶς] οὐ om. Fl

δέχεται τροχαῖον, τρίβραχυν καὶ δάκτυλον· κατὰ δὲ τὰς ἀρτίους τούτους τε, καὶ σπονδεῖον καὶ 36
ἀνάπαιστον. Καταληκτικὸν δὲ ὅτε ἐστί, μάλιστα
μὲν τὸν παραλήγοντα τροχαῖον δέχεται, ἐστὶ δὲ ὅτε
καὶ τρίβραχυν· καὶ ἐὰν δὲ ᾖ βραχυκατάληκτον, οὐ
βούλεται τὸν παραλήγοντα τετράσημον[2] ἔχειν.(2) Ἔστι
δὲ ἐπίσημα ἐν αὐτῷ τὰ καταληκτικά· δίμετρον μὲν
καταληκτικόν, τὸ καλούμενον Εὐριπίδειον ἢ Λη-
κύθιον, οἷόν ἐστι,

νῦν δέ μοι πρὸ τειχέων[3].
θούριος μολὼν Ἄρης.

τρίμετρον δὲ καταληκτικόν, οἷόν ἐστι τὸ τοῦ Ἀρχι-
λόχου, ὅ τινες ἀκέφαλον ἰαμβικὸν καλοῦσι·

Ζεῦ πάτερ,[4] γάμον μὲν οὐκ ἐδαισάμην. 37

τετράμετρον δὲ καταληκτικόν, οἷον

Ἐρξίη πῇ δηῦτ' ἄνολβος ἀθροΐζεται στρατός.

Τοῦτο δὲ τὸ τετράμετρον γίνεται καὶ χωλὸν[5] τοῦ
παρατελεύτου ποδὸς σπονδείου γενομένου, οἷόν ἐστι 38
καὶ τὸ

Μητροτίμῳ δηῦτ' ἐμὲ χρὴ τῷ σκότῳ δικάζεσθαι.

καὶ τῷ πενταμέτρῳ δέ, καίπερ ὄντι ὑπερμέτρῳ, πολ-

1 καὶ δάκτυλον CcPMN, ἴαμβον καὶ δάκτυλον TuFl 3 Καταληκτικὸν δὲ — παραλήγοντα CPSMTu, Ὅτε δέ ἐστι καταληκτικὸν τὸν παραλήγοντα μάλιστα μὲν Fl 5 καὶ ἐὰν δὲ CP, καὶ om. FlGaisf., δὲ om. MΓu 7 ἐν αὐτῷ] ἐν αὐτοῖς N τὰ καταληκτικά P, τὰ om. rell. 8 Ληκύθειον N 9 οἷόν ἐστι] οἷον τὸ M 12 ἐστι τὸ τοῦ Ἀρχιλόχου C, τοῦ om. rell., ἐστι om. Tu 13 ἀκέφαλον ἰαμβικὸν PM, ἀκέφ. ἴαμβον Fl 14 ἐδαισάμην CcP schol. M, ἐδασάμην rell. 16 Ἐρξίη om. Cc δηῦτ'] δ' ηὖτ' CcPS, δῆτ' Fl 17 τετράμετρον] μέτρον MΓu 18 παρατελεύτου] παρατελευταίου MΓu οἷόν ἐστι καὶ τὸ om. MTu 20 μητροτίμῳ CcPMΓu, μὴτροτίμῳ Fl, μὴ προτίμω NHB 21 καίπερ ὄντι] καίπερ δὲ ὄντι SFl

λοὺς κεχρῆσθαι συμβέβηκεν· οἷόν ἐστι καὶ τὸ Καλλιμάχου (115)

ἔρχεται[6] πολὺς μὲν Αἰγαῖον διατμήξας ἀπ' οἰνηρῆς Χίου.

(3) Ἔστι δὲ ἐν αὐτῷ ἐπίσημον καὶ τὸ δίμετρον βραχυκατάληκτον, τὸ καλούμενον Ἰθυφαλλικόν. ᾧ πρῶτος μὲν Ἀρχίλοχος κέχρηται, συζεύξας αὐτὸ δακτυλικῷ τετραμέτρῳ, οὕτως (Archil. 100)

οὐκέθ' ὅμως θάλλεις ἁπαλὸν χρόα· κάρφεται[7] γὰρ ἤδη.

οἱ δὲ μετὰ ταῦτα καὶ ἐπήγαγον αὐτὸ ἰαμβείῳ[8], ὥσπερ ὁ Καλλίμαχος, (117)

Ἑρμᾶς ὅπερ Φεραῖος αἰνέει θεός,
ἐμμὶ τῶ φυγαίχμα.

(4) Ὁμοίως δὲ καὶ τὸ τετράμετρον βραχυκατάληκτον ἐπίσημόν ἐστιν· οἷον (fr. com. an. 39)

οὐδ' Ἀμειψίαν ὁρᾶτε πτῶχον ὄντ' ἐφ' ὑμῖν.

Καὶ τῶν ἀκαταλήκτων δὲ τὸ τετράμετρον ἔνδοξόν ἐστιν, οἷον τουτὶ τοῦ Ἀνακρέοντος, (76)

κλῦθί μευ γέροντος εὐέθειρα χρυσόπεπλε κούρα.

Τὰ μὲν οὖν ἐπισημότατα ἐν αὐτῷ ταῦτά ἐστι. (5) Τῷ δὲ δακτύλῳ τῷ κατὰ τὰς περιττὰς ἐμπίπτοντι χώρας, ἥκιστα οἱ ἰαμβοποιοὶ ἐχρήσαντο ποιηταί· σπανίως δὲ καὶ οἱ τραγικοί, οἱ δὲ κωμικοὶ συνεχῶς, ὥσπερ καὶ ἐν τῷ ἰαμβικῷ, τῷ ἐπὶ τῆς ἀρτίου

6 μὲν Ἀρχίλοχος κέχρηται] Ἀρχ. μὲν ἐχρήσατο MTu αὐτὸ δακτυλικῷ τετραμέτρῳ CPMTuN, αὐτοῦ δ. τ. S, αὐτῷ δακτυλικὸν τετράμετρον Fl 8 θάλλεις C, θάλεις M, θάλλης HBFl 11 αἰνέει] αἰνείων CcPSN, αἰνεῖ HFl 12 ἐμμιτῷ *τῷ φυγαίσχημα FlH 15 Ἀμειψίαν] Ἀμυνίαν Meineke ἐφ' ὑμῖν C SP, ἐφ' ἡμῖν rell. Gaisf. 16 ἔνδοξον — Ἀνακρ.] ἐστιν ἔνδοξον. οἷόν ἐστιν τὸ τοῦ Ἀνακρ. Tu 17 τουτὶ τὸ τοῦ Ἀνακρ. P, τὸ om. rell. 18 εὐέθειρα] εὐέθειρε Bergk 19 ἐν αὐτῷ] ἐν τούτῳ C 23 ἐν τῷ ἰαμβικῷ] ἐν om. C

ἀναπαίστῳ· ἑκάτερον γὰρ ἄλογον· οὔτε γὰρ ἐν τῷ ἰαμβικῷ ἐχρῆν ἀνάπαιστον ἐπὶ τῆς ἀρτίου χώρας, ἐφ' ἧς οὐδὲ σπονδεῖος ἐγχωρεῖ, οὗ λύσις ἐστὶν ὁ ἀνάπαιστος· οὔτε ἐν τῷ τροχαϊκῷ, ἐπὶ τῆς περιττῆς τὸν δάκτυλον, ἐφ' ἧς οὐδὲ σπονδεῖος ἐγχωρεῖ, οὗ ὁμοίως λύσις ὁ δάκτυλος.(ω) Ἔτι μέντοι καὶ ἐν τοῖς καταληκτικοῖς καὶ ὁ τρίβραχυς ἐγχωρεῖ, καθάπερ προειρήκαμεν, οὐ μόνον ὁ τροχαῖος, ὡς τινες οἴονται. παράδειγμα τόδε, (fr. com. an. 38)

τῶν πολιτῶν ἄνδρας ὑμῖν δημιουργοὺς ἀποφανῶ.

τῆς γὰρ κατακλεῖδος οὔσης ἀποφανῶ, δῆλον ὡς ὁ παρακείμενος ποὺς ἀποφα ἐστὶ τρίβραχυς, ὡς προείρηται.

Κεφ. ζ'. Περὶ δακτυλικοῦ.

(1) Τὸ δακτυλικὸν[1] δέχεται δακτύλους καὶ σπονδείους κατὰ πᾶσαν χώραν, πλὴν τῆς τελευταίας· 41 ἐπὶ ταύτης δέ, εἰ μὲν ἀκατάληκτον εἴη, δάκτυλον ἕξει, ἢ διὰ τὴν ἀδιάφορον κρητικόν· εἰ δὲ καταληκτικόν, τὰ ἀπ' αὐτοῦ μεμειωμένα, ἤτοι συλλαβῇ ἢ δύο συλλαβαῖς· καὶ τὸ μὲν καλεῖται καταληκτικὸν εἰς συλλαβήν, τὸ δὲ καταληκτικὸν εἰς δισύλλαβον. (2) Ἐπισημότατα δέ ἐστιν ἐν αὐτῷ, τό τε ἑξάμετρον καταληκτικὸν εἰς δισύλλαβον, τὸ καλούμενον ἔπος, οἷον (A 1)

μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος·

2 ἐπὶ τῆς ἀρτίου] τῆς om. CPS 3 οὗ λύσις ἐστὶν — σπονδεῖος ἐγχωρεῖ om. HBPl 9 Παράδειγμα om. M, παράδειγμα δὲ M2 10 ἄνδρας] ἄνδρες Fl δημιουργοὺς om. Fl 12 ὡς προείρηται om. HBFl 18 κρητικὸν ἦγουν ἀμφίμακρον M(?)HFl εἰ δὲ καταληκτικὸν om. C 22 Ἐπισημότατα] ἐπισημότατον MΓu, ἐπισημοτατῶν syllaba των delecta C

ἐπὶ γὰρ τῆς ἐσχάτης λέξεως τῆς λης λειπει ὁ δά- 42
κτυλος μιᾷ συλλαβῇ· καὶ τὸ πεντάμετρον καταληκτικὸν εἰς δισύλλαβον, τὸ καλούμενον Σιμμίειον, οἷον

χαῖρε ἄναξ ἔταρε, ζαθέας μάκαρ ἥβας.

καὶ τὸ τετράμετρον εἰς δισύλλαβον καταληκτικόν, ᾧ πρῶτος μὲν ἐχρήσατο Ἀρχίλοχος ἐν ἐπῳδοῖς,

φαινόμενον κακὸν οἴκαδ' ἄγεσθαι. (98)

ὕστερον δὲ καὶ Ἀνακρέων τούτῳ τῷ μέτρῳ καὶ ὅλα ἄσματα συνέθηκεν· (67)

Ἀδυμελὲς χαρίεσσα χελιδοῖ.

καὶ (68)

Μνᾶται δηῦτε φαλακρὸς Ἄλεξις.

Ταῦτα μὲν οὖν τῶν εἰς δισύλλαβον καταληκτικῶν παραδείγματα.(3) τῶν δὲ εἰς συλλαβήν, τῷ μὲν πενθημιμερεῖ πρὸς δύο ποσὶν οὐσῶν τῶν συλλαβῶν 43 [ ]c.
Ἀρχίλοχος κέχρηται ἐν ἐπῳδῷ, οἷον (104) m.c.

ἐν δὲ Βατουσιάδης.

τῷ δὲ ἑφθημιμερεῖ Ἀλκμὰν (49)

ταῦτα μὲν ὡς ἂν ὁ δῆμος ἅπας.

(4) Καὶ τῶν ἀκαταλήκτων δὲ τὸ τετράμετρον Ἀρχίλοχος ἔνδοξον ἐποίησε, διὰ τὸ προτάξαι αὐτὸ τροχαϊκοῦ τοῦ καλουμένου ἰθυφαλλικοῦ, οὕτως· (100)

1 ἐσχάτης] τελευταίας M λέξεως] λήξεως C 2 πεντάμετρον] δὲ add. MTu 5 ἔταρε SMFl, ἑτάρα CB, ἄ.ναξ ἑτά.ραζεθε.ασμάκαρ C 6 καὶ τὸ τετράμετρον] τὸ om. CPM εἰς δισύλλαβ. καταλ. CPM, καταλ. εἰς δισύλλ. rell.Gaisf. 7 πρῶτος μὲν CPMH, μὲν om. Fl... ἐπῳδοῖς CPM, ἐπῳδοῖς οἷον rell.Gaisf. 9 καὶ Ἀνακρέων] καὶ om. MGaisf. καὶ ὅλα MTu, καὶ ἄλλα rell. 10 συνέθηκεν] συντέθεικεν NHFl, συντέθηκεν B 16 τῶν συλλαβῶν] τ. δισυλλάβων M 17 ἐπῳδῷ] ἐπῳδῇ M2TuFl οἷον om. CP 22 αὐτὸ τροχαϊκοῦ τοῦ CPM NH, αὐτοῦ τ. τρ. Fl, αὐτὸ τοῦ τροχαικοῦ Tu

οὐκ ἔθ' ὅμως θάλλεις ἁπαλὸν χρόα· κάρφεται γὰρ ἤδη.

Ἀλκμὰν δὲ καὶ ὅλας στροφὰς τούτῳ τῷ μέτρῳ κατεμέτρησε,

Μῶσ' ἄγε, Καλλιόπα, θύγατερ Διός,
ἄρχ' ἐρατῶν ἐπέων, ἐπὶ δ' ἵμερον
ὕμνον, καὶ χαρίεντα τίθει χορόν.

ταῦτα μὲν οὖν κοινὰ δακτυλικά.

(ς) Τὰ δὲ Αἰολικὰ καλούμενα τὸν μὲν πρῶτον ἔχει πόδα πάντως ἕνα τῶν δισυλλάβων ἀδιάφορον, ἤτοι σπονδεῖον, ἢ ἴαμβον, ἢ τροχαῖον, ἢ πυρρίχιον· τοὺς δὲ ἐν μέσῳ δακτύλους πάντας· τὸν δὲ τελευταῖον πρὸς τὴν ἀπόθεσιν δάκτυλον μέν, ἢ κρητικὸν διὰ τὸ τῆς τελευταίας ἀδιάφορον, ἐὰν ἀκατάληκτον ᾖ, ἐὰν δὲ καταληκτικόν, καὶ τὰ ἀπὸ τούτου μεμειωμένα εἰς δισύλλαβον καὶ συλλαβήν. (ζ) Τὸ μὲν οὖν Αἰολικὸν ἔπος τὸ καταληκτικὸν τοιοῦτόν ἐστι·

κέλομαί τινα τὸν χαρίεντα Μένωνα καλέσσαι,
εἰ χρὴ συμποσίας ἐπ' ὄνασιν ἐμοὶ γεγενῆσθαι.

πεντάμετρα δὲ καταληκτικὰ εἰς δισύλλαβον·

τέῳ σ', ὦ φίλε γαμβρέ, καλῶς ἐϊκάσδω[2];
ὄρπακι βραδινῷ σε μάλιστ' ἐϊκάσδω.

τὸ δὲ τετράμετρον·

θυρωρῷ πόδες ἑπτορόγυιοι[3],

1 θάλλεις] θάλλης Fl 6 ὕμνον schol. Hermog. p. 400, ὕμνῳ libb. Heph. 8 καλούμενα τὸν] κ. μέτρα τὸν M1, κ. μέτρα τὸ C 9 πάντως] om. HBFl, σπανίως S 12 δάκτυλον μὲν ἢ] δ. δὲ ἢ F_1 14 ἀπὸ τούτου] τοῦ δακτυλικοῦ supra scr. P 18 εἰ χρὴ] ἔχρην B 115, ἔχρη B 165, αἰ χρὴ Bergk ἐπ' ὄνασιν] ἐπόνασίν HBFl 20 τέῳ Scalig.] τίω libb. Heph., τίῳ Bergk 23 θυρωρῷ πόδες] θυρόποδες Fl ἑπτορόγυιοι cf. etym. m. p. 633 Ὀρόγυια] ἑπταθορρόγυιοι CcPS, ἑπταθόργυιοι MTu, ἑπταρόγιοι Fl

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



ται σπονδεῖον, ἀνάπαιστον, σπανίως δὲ καὶ προκε-
λευσματικόν· παρὰ δὲ τοῖς δραματοποιοῖς καὶ δά- 48
κτυλον. Εἰσὶ δὲ αὐτοῦ ἀποθέσεις ἓξ κατὰ σύζυγίαν
διαιρουμένου· ὑπερκατάληκτος εἰς δισύλλαβον, ὑπερ-
κατάληκτος εἰς συλλαβήν, ἀκατάληκτος, καταληκτικὴ
εἰς δισύλλαβον, καταληκτικὴ εἰς συλλαβήν, βραχυ-
κατάληκτος.

(2) Ἐπισημότατον δὲ ἐν αὐτῷ ἐστὶ τὸ τετράμετρον
καταληκτικὸν εἰς συλλαβὴν τὸ καλούμενον Ἀριστο-
φάνειον, (Nub. 962)

Ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν, καὶ σωφροσύνη νενόμιστο.

κέκληται δὲ Ἀριστοφάνειον, οὐκ Ἀριστοφάνους αὐτὸ
εὑρόντος πρώτου, ἐπεὶ καὶ παρὰ Κρατίνῳ ἐστί· (220)

χαίρετε δαίμονες οἱ Λεβάδειαν Βοιώτιον οὖθαρ ἀρούρης.

ἀλλὰ διὰ τὸ τὸν Ἀριστοφάνην πολλῷ αὐτῷ κεχρῆ- 49
σθαι. (3) Καὶ πρὸ Κρατίνου παρ' Ἐπιχάρμῳ, ὃς καὶ
ὅλα δύο δράματα τούτῳ τῷ μέτρῳ γέγραφε, τούς
τε Χορεύοντας καὶ τὸν Ἐπινίκιον. Ἀριστόξενος δὲ
ὁ Σελινούντιος Ἐπιχάρμου πρεσβύτερος ἐγένετο ποι-
ητής, οὗ καὶ αὐτὸς Ἐπίχαρμος (88) μνημονεύει ἐν Λόγῳ
καὶ Λογίνᾳ,

καὶ τὸν ἄριστον C. οἱ τοὺς ἰάμβους καττὸν ἀρχαῖον τρόπον,
ὃν πρᾶτος εἰσηγήσαθ' Ὡριστόξενος.

1 καὶ προκελευσματικὸν] καὶ om. PS 2 καὶ δάκτυλον CcM1 schol. Arist. Plut. 487] καὶ ἴαμβον καὶ δάκτυλον TuFl sebol. rec., Draco, Tzetz., ἴαμβον καὶ δάκτυλον tract. Harlei 3 αὐτοῦ ἀποθέσεις] αὐτῷ ἀπ. BFlM2 4 διαιρουμένου CcP SMN, διαιρούμεναι TuM2 ὑπερκατάληκτον Fl ὑπερκατάληκτον Fl 5 ἀκατάληκτον Fl καταληκτικὸν Fl 6 καταληκτικὸν Fl 13 εὑρόντος πρώτου] εὑρ. πρῶτον MTu 15 πολλῷ αὐτῷ κεχρῆσθαι] αὐτῷ κεχρῆσθαι πολλῷ MTu 19 Σελινούντιος] Σικελὸς suprascr. P 20 Λόγῳ] Λογγῖνος marg. P, MTu scholl. 21 Λογίνᾳ] Λογίνα Fl 22 καττὸν ἀρχαῖον Porson] καὶ τὸν ἄριστον libb. 23 ὃν πρᾶτος CcP, ὧν πρῶ-

καὶ τούτου τοίνυν τοῦ Ἀριστοξένου μνημονεύεταί τινα τούτῳ τῷ μέτρῳ γεγραμμένα·

τίς ἀλαζονίαν πλείσταν παρέχει τῶν ἀνθρώπων; τοὶ μάντεις.

(4) τὸ μέντοι τὸν σπονδεῖον ἔχον ἀλλὰ μὴ τὸν ἀνάπαιστον παραλήγοντα εἰσὶν[3] οἱ Λακωνικὸν καλοῦσι, προφερόμενοι παραδείγματα,

ἄγετ' ὦ Σπάρτας ἔνοπλοι κοῦροι ποτὶ τὰν Ἄρεως κίνασιν.

Ὅτι μέντοι καὶ ἐν τῷ Ἀριστοφανείῳ καλουμένῳ ἀδιαφόρως εὑρίσκεται ὁ παραλήγων ἀνάπαιστος ἢ σπονδεῖος, δηλώσει Κρατῖνος· εἰς γὰρ τοὺς Ὀδυσσέας εἰσβάλλων τούτῳ τῷ μέτρῳ ἐχρήσατο·

τίνες αὖ πόντον κατέχουσ' αὖραι· νέφος οὐράνιον τόδ' ὁρῶμαι.

ἐποίησε δέ τινα στίχον καὶ σπονδείῳ τῷ παραλήγοντι κεχρημένον·

ὡς ἂν μᾶλλον τοῖς πηδαλίοις ἡ ναῦς ἡμῶν πειθαρχῇ.

Περὶ μὲν οὖν τοῦ τετραμέτρου ταῦτα. (5) Τῷ καταληκτ(ικ)ῷ δὲ τριμέτρῳ Σιμμίας ὁ Ῥόδιος ὅλον ποιημάτιον ἔγραψεν, ὡς τό

Ἑστία ἁγνά, ἀπ' εὐξείνων μέσα τοίχων.

(6) Τὸ δὲ δίμετρον καταληκτικὸν καλεῖται μὲν παροιμιακόν, διὰ τὸ παροιμίας[4] τινὰς ἐν τούτῳ τῷ μέτρῳ εἶναι·

πότε δ' Ἄρτεμις οὐκ ἐχόρευσε.

καὶ κόρκορος ἐν λαχάνοισιν.

τος Fl, ὃν πρῶτος rell. Ὡριστόξενος] ὁ ὀριστόξενος P 3 ἀλαζονίαν Hermann] ἀλαζονείαν libb. 7 Ἄρεως] Ἄρεος M 8 καλουμένῳ om. N 12 τίνες αὖ] τίνες οὖν Fl 17 Περὶ μὲν — ταῦτα om. MTu Τῷ καταλήκτῳ δὲ τριμέτρῳ S, cf. Tricha 24, 5, τῷ δὲ τριμέτρῳ rell. Gaisf. Τῷ — ἔγραψεν ὡς τὸ om. Fl 20 Ἑστία CcP, ἱστία rell. Gaisf. ἀπ' εὐξείνων libb. μέσα τοι ἔχων BFlM2

ἀλλὰ παροιμίαι εἰσὶ καὶ ἐπικαὶ καὶ ἰαμβικαί, καὶ οὐ τούτου τοῦ μέτρου μόνου, ὥστε οὐκ εἰκότως αὐτὸ μόνον παροιμιακὸν καλοῦσι.[5] Κρατῖνος δὲ ἐν Ὀδυσσεῦσι συνεχεῖ αὐτῷ ἐχρήσατο· (144).

σιγάν νυν ἅπας ἔχε σιγάν·
καὶ πάντα λόγον τάχα πεύσει·
ἡμῖν δ' Ἰθάκη πατρίς ἐστι,
πλέομεν δ' ἅμ' Ὀδυσσέϊ θείῳ.

(1) Πρῶτος δ' Ἀρχίλοχος ἐχρήσατο τῷ μεγέθει τούτῳ, ἐν τοῖς τετραμέτροις προτάξας αὐτὸ τοῦ ἰθυφαλλικοῦ. Τὸ γὰρ

Ἐρασμονίδη Χαρίλαε (79)

ἑφθημιμερές ἐστιν ἀναπαιστικόν. Ἐχρήσατο δὲ τῷ 52
πρώτῳ ποδὶ καὶ ἰάμβῳ[6], ὡς καὶ ἐκ τοῦ παραδείγματός ἐστι δῆλον, καὶ σπονδείῳ, (82)

Δήμητρί τε χεῖρας ἀνέξων·

ἀναπαίστῳ δὲ τῷ πρώτῳ ἐπὶ δύο μόνον στίχων κεχρῆσθαι δοκεῖ (79.2)

ἐρέω πολὺ φίλταθ' ἑταίρων.

m. c. 20 καὶ <u>πάλιν</u>, (80)

φιλέειν στυγνόν περ ἐόντα.

ταῦτα δὲ ἀμφότερα κατὰ συνεκφώνησιν ἴαμβον ἔχει[7] τὸν πρῶτον πόδα.

(2) Τῷ δὲ ἀναπαιστικῷ ὑποστέλλοιτο ἄν[8] καὶ τὸ-

2 τούτου τοῦ μέτρου] ἐκ τούτου μέτρου C μόνου] μόνον Tu 3 αὐτὸ μόνον παροιμ.] παροιμ. τοῦτο μόνον MTu 12 Χαρίλαε] Χαρίλας Fl 14 ὡς καὶ ἐκ τοῦ παραδ. CP, ὡς καὶ ἐπὶ τοῦ π. MTu, ὡς ἔκ τε παραδ. HBFl 17 δύο μόνον στίχων C, δύο μόνων στίχ. PMT, μόνων δύο στίχ. Fl 20 καὶ πάλιν] πάλιν om. Fl 24 δὲ et ἄν om. ΠBPI

προκελευσματικὸν ὑπ' ἐνίων καλούμενον, οἷον τὸ 53
τετράμετρον τοῦτο τὸ Ἀριστοφάνειον,

τίς ὄρεα βαθύκομα τάδ' ἐπέσυτο βροτῶν,

γίνεται γάρ, ἑκάστου τῶν πρώτων τριῶν ποδῶν ἀναπαίστων λελυμένου εἰς τὸν προκελευσματικόν,[9] δίμετρον ἀκατάληκτον ἀναπαιστικόν. Τινὲς δὲ αὐτὸ κατὰ πόδα διαιροῦντες πυρριχαϊκὸν καλοῦσι· τοῖς δὲ χαριεστέροις δοκεῖ ἀναπαιστικὸν εἶναι, ἀντὶ ἑκάστου ἀναπαίστου προκελευσματικοῦ παραλαμβανομένου ἐπὶ τῶν ἄλλων χωρῶν, ἐπὶ δὲ τῆς τελευταίας φυλαττομένου αὐτοῦ καθαροῦ καὶ μὴ λελυμένου.

(9) Ὥσπερ δὲ ἐν τῷ δακτυλικῷ ἦν τι λογαοιδικόν, οὕτω κἀν τοῖς ἀναπαιστικοῖς τὸ εἰς βακχεῖον περαιούμενον· οὗ ἐστὶν ἐπισημότατον τὸ μετὰ τέσσαρας πόδας αὐτὸν ἔχον τὸν βακχεῖον,[10] ὧν ὁ πρῶτος γίνεται καὶ σπονδεῖος καὶ ἴαμβος. Καλεῖται μὲν οὖν Ἀρχεβούλειον ἀπὸ Ἀρχεβούλου τοῦ Θηβαίου ποιητοῦ χρησαμένου αὐτῷ κατακόρως· γέγραπται δὲ καὶ Καλλιμάχῳ, 54

Ἀγέτω θεός, οὐ γὰρ ἔχω δίχα τῶδ' ἀείδειν.

τοῦτο μὲν οὖν ἀπὸ ἀναπαίστου· ἀπὸ δὲ σπονδείου,

Νύμφα, σὺ μὲν ἀστερίαν ὑφ' ἅμαξαν ἤδη.

ἀπὸ δὲ ἰάμβου,

Φιλωτέρα ἄρτι γὰρ ἁ Σικελὰ μὲν Ἔννα.

2 τοῦτο τὸ Ἀριστ.] τὸ om. C 3 ἐπέσυτο SE, ἐπέσσυτο Fl 4 γίνεται γὰρ] γίνεται δὲ Fl 5 λελυμένου] λελυμένων PSMFl 6 δίμετρον CcPM1, τετράμετρον TuE2Fl 7 πυρριχιακὸν S 8 ἀναπαιστικὸν εἶναι] εἶναι om. C 15 ἔχον τὸν] ἔχοντα τὸν CP 17 τοῦ Θηβαίου] τοῦ om. Fl, τ. Θηραίου Meineke 20 ἔχω] ἐγὼ CPSFl τῶδ' Bentl., τῶνδ' libb. 22 ὑφ' ἅμαξαν] ὑπ' ἅμαξαν CPSFl 24 ἁ vel ἡ Σικελὰ Hermann, οἱ Σ. libb.

τοὺς δὲ μετὰ τὸν πρῶτον πόδα τρεῖς οἱ μὲν ἐν συνεχείᾳ γράψαντες τὸ μέτρον πάντως ἀναπαίστους ἐφύλαξαν· Ἀλκμὰν δέ που καὶ σπονδείους παραλαμβάνει.

Κεφ. ϑ΄. Περὶ χοριαμβικοῦ.

(1) Τὸ χοριαμβικὸν[1] συντίϑεται μὲν καὶ καθαρόν, συντίϑεται δὲ καὶ ἐπίμικτον[2] πρὸς τὰς ἰαμβικάς· ὡς ἐπίπαν δέ, ὅτε καταληκτικόν ἐστιν εἰς τὴν ἰαμβικὴν καταλεῖδα περαιοῦται, τοῦτ' ἔστιν, εἰς ἀμφίβραχυν, ἢ βακχεῖον διὰ τὴν ἀδιάφορον[3]. Περαιοῦται μὲν γὰρ καὶ εἰς τὴν ἰδίαν, τὸν δάκτυλον, ἢ κρητικόν, οἷον, δίμετρα μέν,

ἱστοπόνοι[4] μείρακες.

τρίμετρα δέ,

οὐδὲ λεόντων[5] σθένος, οὐδὲ τροφαί.

τετράμετρα δέ,

αἳ Κυθερήας ἐπιπνεῖτ' ὄργια λευκωλένου[6].

ἀλλὰ τῷ ταῦτα συνεχέστερα εἶναι, ἀπρεπέστερά ἐστι. (2) Τὰ δὲ εἰς τὸν ἀμφίβραχυν ἢ βακχεῖον, οἷον δίμετρα μέν, τὰ ἐξ Αἰολοσίκωνος[7] Ἀριστοφάνους,

οὐκ ἐτός, ὦ γυναῖκες[8],
πᾶσι κακοῖσιν ἡμᾶς
φλῶσιν ἑκάστοτ' ἄνδρες·
δεινὰ γὰρ ἔργα δρῶσαι
λαμβανόμεσθ' ὑπ' αὐτῶν.

1 πόδα τρεῖς] πόδας τρ. HFl 8 ὅτε καταληκτικόν] καὶ ὅτε κ. HBFl 12 δίμετρα μέν] δίμετρον μὲν οἷον CP, δίμετρον μὲν τὸ rell.Gaisf. 14 τρίμετρα δέ PC, τρίμετρον δὲ Π, τρίμετρον δὲ οἷον FlGaisf. 16 τετράμετρα δέ PCFl, τετράμετρον δὲ rell.Gaisf. 17 Κυθερήας CP, Κυθερείας rell. 19 οἷον δίμετρα CPSM, οἷον om. rell.

τρίμετρα δέ[9], οἷον τὸ Ἀνακρέοντος,

δακρυόεσσάν τ' ἐφίλησεν αἰχμάν. (31)

τετράμετρα δέ, ἃ καὶ συνεχέστερά ἐστιν, οἷα ταυτὶ τὰ Σαπφοῦς,

δεῦτέ νυν ἁβραὶ Χάριτες καλλίκομοί τε Μοῖσαι. (60)

(3) Ἀνακρέων δὲ ἐπετήδευσε τὴν πρώτην συζυγίαν δι' ὅλου ἄσματος ἐκ τριβράχεος καὶ ἰάμβου ποιῆσαι, ὡς εἶναι κοινὴν λύσιν τῆς τε χοριαμβικῆς καὶ τῆς ἰαμβικῆς,

ἀναπέτομαι[10] δὴ πρὸς Ὄλυμπον πτερύγεσσι κούφαις. (24)

Πολὺ δέ ἐστι καὶ τὸ πρὸς τῇ κατακλεῖδι τὴν δευ- 57
τέραν συζυγίαν ἰαμβικὴν ἔχον, οἷόν ἐστι παρὰ μὲν Ἀνακρέοντι,

ἐκ ποταμοῦ 'πανέρχομαι πάντα φέρουσα λαμπρά. (23)

παρὰ δὲ Ἀριστοφάνει ἐν Ἀμφιάρεῳ,

οἶδα μὲν ἀρχαῖόν τι δρῶν, κοὐχὶ λέληθ' ἐμαυτόν. (30)

(4) καὶ τῷ πενταμέτρῳ δὲ Καλλίμαχος ὅλον ποίημα τὸν Βράγχον συνέθηκε,

δαίμονες εὐυμνότατοι Φοῖβέ τε καὶ Ζεῦ Διδύμων γενάρχαι. (36)

Φίλικος δὲ ὁ Κερκυραῖος, εἷς ὢν τῆς Πλειάδος[11], ἑξαμέτρῳ συνέθηκεν ὅλον ποίημα· 58

τῇ χθονίῃ μυστικὰ Δήμητρί τε καὶ Φερσεφόνῃ καὶ Κλυμένῳ τὰ δῶρα.

2 ἐφίλησαν N 3 τετράμετρα δὲ ἃ] ἃ om. C οἷον ταυτὶ HFl 5 δεῦτέ νυν] δεῦτε νῦν CEFlGaisf. Μοῦσαι Fl 14 'πανέρχομαι] παρέρχομαι CcP 15 Ἀμφιάρεω HBFl, Ἀμφιάρω CPS, Ἀμφιαράῳ MTu 16 τι δρῶν] τ' ἰδὼν MTu 18 Βράγχον] Βάκχον M2Tu 20 Φίλικος] φίλυκος C, φιλίκος P, φίληκος M Κερκυραῖος] κορυφαῖος N 21 ἑξάμετρον Fl 22 μυστικῇ C Φερσεφόνῃ CPSMTu, Περσεφόνῃ Fl καὶ Κλυμένῳ] κεκλημένῳ N

τοῦτο δὲ καὶ ἀλαζονεύεται εὑρηκέναι Φίλικος λέγων,

καινογράφου συνθέσεως τῆς Φιλίκου, γραμματικοί, δῶρα φέρω πρὸς ὑμᾶς.

ψεύδεται δέ· πρὸ γὰρ αὐτοῦ Σιμμίας ὁ Ῥόδιος ἐχρήσατο ἔν τε τῷ Πελέκει[12],

Ἀνδροθέᾳ δῶρον ὁ Φωκεὺς κρατερᾶς μηδοσύνας ἦρα τίνων Ἀθάνᾳ.

κἀν ταῖς Πτέρυξι,

λεύσσετε τὸν γᾶς τε βαθυστέρνου ἄνακτ' Ἀκμονίδαν τ' ἄλλυδις ἑδράσαντα.

πλὴν εἰ μὴ ἄρα ὁ Φίλικος, οὐχ ὡς πρῶτος εὑρηκὼς τὸ μέτρον λέγει, ἀλλ' ὡς πρῶτος τούτῳ τῷ μέτρῳ τὰ ὅλα ποιήματα γράψας. 59

Κεφ. ι'. Περὶ ἀντισπαστικοῦ.

(1) Τὸ ἀντισπαστικὸν[1] τὴν μὲν πρώτην συζυγίαν ἔχει τρεπομένην κατὰ τὸν πρότερον πόδα εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα· τὰς δὲ ἐν μέσῳ, καθαρὰς ἀντισπαστικάς· τὴν δὲ τελευταίαν ὁπότε ἐστὶν ἀκατάληκτον, ἰαμβικήν· ἐὰν δὲ ἀναμίσγηται[2] ταῖς ἰαμβικαῖς, οὐ μόνον τὴν πρώτην συζυγίαν ἔχει τρεπομένην κατὰ τὸν πρότερον πόδα, ἀλλὰ καὶ τὴν ταῖς ἰαμβικαῖς ἑπομένην. Ἔστι δὲ ὅτε καὶ λύεται ὁ πρότερος ποὺς εἰς τρίβραχυν.(2) Καὶ ἔστιν ἐπίσημα 60

2 καινογράφου συνθέσεως Blomfield, καινογραφοῦς συνθ. libb. pleriq., καινογραφοῖς Fl, καινογραφῆς Tu 4 πρὸ γὰρ] καὶ πρὸ γὰρ M 6 μηδοσύνας] κηδοσύνας N τίνων] τινῶν M 9 βαθυστέρνου] βαθύστερνον CcPM ἀκμονίδαν ἄλλυδις δράσαντα CcP, ἀκμ. ἀλλύδος ἑδράσαντα MSFl, ἑδράσασα Tu 15 τὰ τέσσαρα] τὰ om. E1TuDrac., tract. Harl. 17 τοῦ δισυλλάβου] τ. τετρασ. C, τῶν δισυλλάβων Draco (τοῦ δισυλλαβοῦ tract. Harl.) 19 ἐὰν δέ που Tu scholl. 21 πρότερον πόδα] δεύτερον π. M1

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

τὸ δὲ ἀκατάληκτον, τὸ μόνην τὴν τελευταίαν ἔχον 63
ἰαμβικήν, καλεῖται Ἀσκληπιάδειον, οἷον τὸ Ἀλκαίου

ve ἦλθες[9] ἐκ περάτων γᾶς, ἐλεφαντίναν
λαβὰν τῶ ξίφεος χρυσοδέταν ἔχων. (33)

τὸ δὲ μέσην μὲν ἔχον τὴν ἀντισπαστικήν, τρεπομένην κατὰ τὸν πρότερον πόδα εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα, ἑκατέρωθεν δὲ τὰς ἰαμβικάς, 64
ὧν ἡ πρώτη καὶ ἀπὸ σπονδείου ἄρχεται, Ἀλκαϊκὸν καλεῖται δωδεκασύλλαβον, οἷον

κόλπῳ σ' [10] ἐδέξανθ' ἁγναὶ Χάριτες Κρόνῳ. (62)

(4) τῶν δὲ τετραμέτρων, τὸ μὲν καταληκτικὸν καθαρόν ἐστι τὸ τοιοῦτον,

κατθνάσκει [11] Κυθέρη' ἁβρὸς Ἄδωνις· τί κε θεῖμεν.
καττύπτεσθε [12] κόραι, καὶ κατερείκεσθε χιτῶνας. (Sa. 62).

τὸ δὲ τὴν δευτέραν ἰαμβικὴν ἔχον καλεῖται Πριάπειον [13], οἷον

ἠρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλάς· 65
οἴνου δ' ἐξέπιον κάδον· νῦν δ' ἁβρῶς ἐρόεσσαν
τπ. ἀ. c. ψάλλω πηκτίδα τῇ φίλῃ, κωμάζων (παρὰ) παιδὶ
ἁβρῇ . . . . . (An. 17)

πολυσχημάτιστον μὲν οὖν αὐτὸ ποιοῦσιν· ἀλλὰ τό γε καθαρῶς ἐσχηματισμένον ἐστὶ τοιοῦτον. (5) Ἔστι δὲ πυκνὸν καὶ τὸ τὴν δευτέραν μόνην ἀντισπαστικὴν

2 τὸ Ἀλκαίου om. ΠΒΡΙ 3 ἦλθες] ἦλθεν HFl, ἦλθον B ἐλεφαντίνων Fl 6 πρότερον πόδα Hotchkis] ἕτερον πόδα libb. 7 δισυλλάβου] τετρασυλλάβου PSM1 8 Ἀλκαϊκὸν PMN, ἀλχαϊκὸν C, ἀλκμαϊκὸν rell. 10 κόλπῳ] κόλπος Fl 12 τὸ τοιοῦτον] τὸ om. M 13 κατθνάσκει Bentl. Hotchkis, καταθνάσκει libb. Κυθέρη' C, Κυθέρει' rell. 14 κατερείκεσθε Pauw, κατερύκεσθαι C, κατερύκκεσθε M, κατερύκεσθε rell. 19 κωμάζων παιδὶ ἁβρῇ CPSMTu, κωμαζ. παρὰ παιδὶ Boeckh. metr. Pind. 288, κομαζ. ποδὶ ι' ἁβρῇ HFl, κ. ποδὶν ἁβρῶς B 72, κ. ποδὶ ἁβρῷ Scalig., κ. παϊδ' ἁβρῇ Gaisf.

ἔχον· ᾧ̃ μέτρῳ ἔγραψεν ᾄσματα καὶ Σαπφώ, ἐπὶ
c *τῆς τοῦ ἑβδόμου (ἀρχῆς)*

γλυκεῖα μᾶτερ, οὔ τοι δύναμαι κρέκην τὸν ἰστόν [14],
πόθῳ δαμεῖσα παιδός, βραδίναν δι' Ἀφροδίταν. (90)

(6)5 *Τὸ δὲ ἀκατάληκτον καλεῖται Σαπφικὸν ἑνδεκασύλλαβον· ᾧ̃ τὸ τρίτον ὅλον Σαπφοῦς γέγραπται·* 66
πολλὰ δὲ καὶ Ἀλκαίου ᾄσματα,

Νύμφαις [15] *ταῖς Διὸς ἐξ αἰγιόχω φασὶ τετυγμέναις.* (85)

Σιμμίας δὲ καὶ τῷ̃ ὑπερκαταλήκτῳ κέχρηται,

10 *τὸν στυγνὸν* [16] *Μελανίππου φόνον αἱ πατροφόνων ἔριθοι.*

ὅπερ καὶ καλεῖται Σιμμιακόν. (7) *ὁ δὲ Ἀλκαῖος καὶ πενταμέτρῳ ἀκαταλήκτῳ ἐχρήσατο,*

Κρονίδα βασιλῆος γένος, Αἴαν, τὸν ἄριστον πέδ' Ἀχιλλέα [17]. (48a)

Κεφ. ιά'. Περὶ τοῦ ἀπὸ μείζονος ἰωνικοῦ. [1] C.

15 (1) *Τὸ δὲ ἀπὸ μείζονος ἰωνικὸν συντίθεται μὲν καὶ καθαρόν, συντίθεται δὲ καὶ πρὸς τὰς τροχαϊκὰς ἐπίμικτον· ὅτε μέντοι ἀκατάληκτόν ἐστι, καθόλου σπα-* 67
νίως εἰς τὴν ἰωνικὴν περαιοῦται, διὰ τὸ ἀπρεπῆ εἶναι τὴν ἰωνικὴν ἐπὶ τέλους οὖσαν. (2) *Ἔστι τοίνυν*
20 *ἐπίσημα ἐν τῷ̃ ἰωνικῷ̃, ἐφθημιμερῆ μέν*[2]*, τὰ τοιαῦτα, οἷς ἡ Τελέσιλλα ἐχρήσατο,*

Ἄδ' Ἄρτεμις, ὦ̃ κόραι,
φεύγοισα τὸν Ἀλφεόν. (1)

1 *ἐπὶ τῆς τοῦ ἑβδόμου* Tu, *ἐπί τε τοῦ ἑβδόμου* HBPl, *ἐπὶ τῆς ζ'* PSM, *ἐπὶ τοῦ ἑβδόμου* C 3 *γλυκεῖα*] *γλυκυα* C, *γλυκῆα* P *κρέκην* CP, *κρέκειν* rell. *ἰστόν*] *ἰαστὸν* SFl 4 *πόθῳ*] *πύθῳ* Fl 5 *ἑξκαιδεκασύλλαβον* CGaisf. 9 *Σιμμίας δὲ*] *Σ. μὲν* N 11 *καὶ καλεῖται·* CP, *καὶ* om. rell. 13 *πέδ'* Casaub., *πόδ'* Tu, *παῖδ'* rell. 15 *Τὸ δὲ* CPMTu, *δὲ* om. rell. Gaisf. *καὶ καθαρὸν*] *καὶ* om. C 18 *εἰς τὸν ἰωνικὸν* Π Fl 20 *ἐν τῷ̃ ἰωνικῷ̃ ἐπίσημα* Fl

καὶ δίμετρον ἀκατάληκτον, τὸ καλούμενον Κλεομάχειον[3]*, ἐν ᾧ καὶ οἱ μολοσσοὶ ἐπὶ τῶν ἀρτίων χωρῶν*[4] *ἐμπίπτουσι καὶ οἱ χορίαμβοι, οἷον* 68

Τίς τὴν ὑδρίην ὑμῶν
ἐψόφησ'; ἐγὼ πίνων.

(3) *καὶ τρίμετρα βραχυκατάληκτα, τὰ καλούμενα Προξίλλεια· ἃ τὴν μὲν πρώτην ἔχει ἰωνικήν, τὴν δὲ δευτέραν τροχαϊκήν· οἷά ἐστι τὰ τοιαῦτα Σαπφοῦς·*

Πλήρης μὲν ἐφαίνεθ' ἁ σελάνα[5]*·*
αἱ δ' ὡς περὶ βωμὸν ἐστάθησαν.

Τὰ δὲ τρίμετρα ἀκατάληκτα διχῶς συνέθεσαν οἱ Αἰολεῖς· τὰ μὲν γὰρ ἐκ δύο ἰωνικῶν καὶ τροχαϊκῆς ἐποίησαν βάσεως, οἷον

Κρῆσσαι νύ ποθ' ὧδ' ἐμμελέως πόδεσσιν
ὠρχεῦνθ' ἁπαλοῖς ἀμφ' ἐρόεντα βωμόν.

ἔνια δὲ καὶ ἐκ μιᾶς ἰωνικῆς καὶ δύο τροχαϊκῶν, οἷον

Τριβώλετερ· οὐ γὰρ Ἀρκάδεσσι λώβα.

(4) *Τῶν δὲ τετραμέτρων ἐπισημότατόν ἐστι τὸ βραχυκατάληκτον, τὸ καλούμενον Σωτάδειον· τοῦτο δὲ κατὰ τὰς (πρώτας) τρεῖς χώρας δέχεται ἰωνικὴν συζυγίαν, ἢ τροχαϊκήν, ἢ τὴν ἐξ ἀναπαίστου*[6] *καὶ πυρριχίου, ἢ τὴν ἐκ τριβράχεος καὶ τροχαίου, ἢ τὴν ἐκ μακρᾶς καὶ τεσσάρων βραχειῶν, ἢ τὴν ἐκ βραχειῶν ἕξ, οἷον* 69

3 *οἷον* om. Tu 4 *ὑμῶν*] *ἡμῶν* SPMFl 5 *ἐψόφοισ'* Fl 9 *ἐφαίνετ'* SM 11 *Τὰ δὲ δίμετρα* Fl 13 *βάσεως* om. CP M1 14 *ὧδ'*] *οὔδ'* P 15 *ὠρχεῦνθ' ἁ.*] *ἀρχεῦθ' ἁ.* C, *ἀρχευντ' ἀπαλοῖς* Fl, *ὠρχεῦντ' ἀπ.* SH 16 *καὶ ἐκ μιᾶς*] *καὶ* om. SM 17 *τριβώλετερ* CPS (cf. Choerob. in Theod. 431: *τριβολέτηρ ὡ τριβόλετερ. ἐστὶ δὲ εἶδος ἀκάνθης*), *τριβώλετες* HB Fl 18 *τὸ βραχυκατάληκτον*] *τὸ* om. CB 20 *κατὰ τὰς τρεῖς* CPSMTu, adiecimus *πρώτας*, *κατὰ τρεῖς* FlGaisf. 22 *καὶ τροχαίου*] *τροχαϊκοῦ* PSM 23 *ἐκ βραχειῶν ἕξ*] *ἐξ ἓξ βραχειῶν* PSM

Ἥρην[7] *ποτὲ φασὶν Δία τὸν τερπικέραυνον.*

(ς΄) *καὶ τετράμετρα δὲ ἀκατάληκτα διαφόρως συνέθεσαν· ἢ γὰρ τρισὶν ἰωνικαῖς μίαν τροχαϊκὴν τὴν τελευταίαν ἐπήγαγον· καλεῖται δ' Αἰολικόν, ὅτι Σαπφὼ πολλῷ αὐτῷ ἐχρήσατο, οἷον*

εὐμορφοτέρα Μνασιδίκα τᾶς ἀπαλᾶς Γυρίννως,
ἀσαροτέρας[8] *οὐδαμὰ πώρανα σέθεν τυχοίσας.*

Παρατηρεῖν δὲ χρή, ὅτι τὴν πρώτην συζυγίαν καὶ ἀπὸ βραχείας ἀρχομένην ποιοῦσιν, ὥσπερ καὶ ἐν τοῖς τριμέτροις,

πόας[9] *τέρεν ἄνθος μαλακὸν μάτεισαι.*

Ἐνίοτε δὲ ἐναλλὰξ τὰς ἰωνικὰς ταῖς τροχαϊκαῖς παραλαμβάνουσιν[10]*, ἀντὶ μὲν τῶν ἰωνικῶν ἔσθ' ὅτε τὰς δευτέρας παιωνικὰς παραλαμβάνοντες*[11]*, ἀντὶ δὲ τῶν ἐξασήμων τροχαϊκῶν ἔσθ' ὅτε τὰς ἑπτασήμους τροχαϊκάς, οἷον*

δέδυκε μὲν ἀ σελάνα καὶ πληϊάδες· μέσαι δὲ
νύκτες, παρὰ δ' ἔρχεθ' ὥρα· ἐγὼ δὲ μόνα καθεύδω.

Κεφ. ιβ΄. Περὶ τοῦ ἀπ' ἐλάσσονος ἰωνικοῦ.

(ι) *Τὸ δὲ ἀπ' ἐλάσσονος ἰωνικὸν συντίθεται μὲν καὶ*

2 *καὶ* om. P *τετράμετρον δὲ ἀκατάληκτον — συνετέθησαν* HBPl 3 *ἢ γὰρ* CP, *καὶ γὰρ* rell. 6 *Μνασιδίκα* om. Fl *Γυρίννως* P, *γυρίννω* S (cf. Longini proleg. § 5), *γυρίνω* Fl, *ἀργυρίννω* N, *γηρΐνως* C, *γηρύννω* M, *γυρήνω* Tu 7 *ἀσαροτέρα σουδαμὰ πωρανα* C, *ἀσαρωτέρας οὐδαμ' ἀπ' ὥρανα* P, *ἀσαρωτέρας οὐδάμ' πωρανα* S, *ἀσσαροτέρας οὐδ' ἅμα πώρανα* M, *ἀσαροτέρα σοῦ δ' ἅμ' ἐπ' ὥρανε* N, *ἀσαροτέρα σοῦ δ' ἅμ' ἐπώραναν* FlBH. cf. Schol.: *Ἀσαροτέρας ... βλαβερωτέρας ... Οὐδαμῶς ἐμοὶ* (libb. *μοῦ*) *ποτὲ εἰρήνη.* In versus exitu *τυχοῖσαν* CPM, *τυχοῖσα* SNH, *τυχοῦσα* BFl. Lege *τυχοίσας*, coniunge *ἀσαροτέρας σέθεν τυχοίσας, οὐδαμὰ πώρανα* sc. *ἐστιν ἐμοί.* 11 *μάτεισαι* CPSMTu, *μάτοισαι* H, *μάτοισαν* BFlM2 20 *Τὸ δὲ* MTu, *δὲ* om. rell.

καθαρόν, συντίθεται δὲ καὶ ἐπίμικτον πρὸς τὰς
[]C. τροχαϊκὰς διποδίας οὕτως, ὥστε τὴν πρὸ τῆς τροχαϊκῆς ἀεὶ γίνεσθαι πεντάσημον, τοῦτ' ἔστι τρίτην παιωνικήν, καὶ τὴν τροχαϊκήν, ὁπόταν προτάττοιτο τῆς ἰωνικῆς, γίνεσθαι ἑπτάσημον τροχαϊκήν, τὸν καλούμενον δεύτερον ἐπίτριτον. Ἔσθ' ὅτε δὲ ἡ μὲν τρίτη παιωνικὴ[1] συναιρεῖται εἰς παλιμβάκχειον, τῆς δὲ ἐπιφερομένης τροχαϊκῆς ὁ πρότερος λύεται εἰς τρίβραχυν. Ἐμπίπτουσι δὲ καὶ οἱ μολοττοὶ ἐπὶ τῶν περιττῶν χωρῶν ἐν τοῖς ἀπ' ἐλάσσονος ἰωνικοῖς, ὥσπερ ἐν τοῖς ἀπὸ μείζονος ἐπὶ τῶν ἀρτίων.

(2) Καὶ ὅλα μὲν οὖν ἄσματα γέγραπται ἰωνικά, ὡς παρ' Ἀλκμᾶνι

om. C. (mel. Bück.) | Ἕκατον μὲν Διὸς υἱόν.
| τάδε Μῶσαι κροκόπεπλοι. (85a)

Σ. δὲ C. καὶ παρὰ Σαπφοῖ 72

ὥραννα C. τί με Πανδιονὶς ὠράνα χελιδών. (88)

Ἀλκαίῳ δὲ πολλά, ὥσπερ καὶ τόδε

Ἔμε δειλάν, ἔμε πάσᾶν κακοτάτων πεδέχοισαν. (89)

(3) Τῶν δὲ ἐν τῷ μέτρῳ μεγεθῶν τὸ μὲν ἐπισημότατόν ἐστι τὸ τετράμετρον καταληκτικόν, οἷόν ἐστι |
τουτὶ C τὸ Φρυνίχου τοῦ τραγικοῦ τόδε

Τό γε μὴν ξείνια δούσας, λόγος ὥσπερ λέγεται[2],
ὀλέσαι, κἀποτεμεῖν ὀξέϊ χαλκῷ κεφαλάν. (14)

2 τροχαϊκὰς διποδίας] τρ. συζυγίας N 9 καὶ οἱ μολοττοὶ] οἱ om. C 11 ἐν τοῖς ἀπὸ μείζονος] ἐπὶ pro ἐν HBFl 12 ὡς παρ' Ἀλκμᾶνι C, ὥσπερ Ἀλκ. PSMFl 16 καὶ παρὰ Σαπφοῖ] Σαπφοῖ δὲ C(?)PSMFl, καὶ παρὰ Σαπφοῖ 17 ὡράνα] ὡραίνα (i. e. ὡραία) M2 19 κακοτάτων] κακοτάταν S, κακότητα HBFl πεδ' ἔχοισαν C, παῖε δ' ἔχοισαν P, πόδ' ἔχ. Tu 22 τὸ Φρυνίχου PMFl, τὸ τοῦ Φρυνίχου Tu τραγικοῦ τόδε P, τρ. τουτί Tu 23 δούσας Hermann, δούσαις libb. 24 κἀποτεμεῖν d'Orvillius, καὶ ποτέ μιν libb.

καὶ παρὰ Φρυνίχῳ τῷ κωμικῷ·

Ἃ δ'[3] ἀνάγκα 'σθ' ἱερεῦσιν καθαρεύειν φράσομεν.

Τοῦτο μέντοι καὶ γαλλιαμβικόν, καὶ μητρῳακόν, καὶ ἀνακλώμενον[4] καλεῖται· [ὕστερον δὲ (τὸ) ἀνακλώμενον ἐκλήθη (μητρῳακὸν) διὰ τὸ πολλὰ τοὺς νεωτέρους εἰς τὴν μητέρα τῶν θεῶν γράψαι τούτῳ τῷ μέτρῳ·] ἐν οἷς καὶ τὰ τοὺς τρίτους παίωνας ἔχοντα καὶ τὸν παλιμβάκχειον καὶ τὰς τροχαϊκὰς ἀδιαφόρως παραλαμβάνουσι πρὸς τὰ καθαρά, ὡς καὶ τὰ πολυθρύλλητα ταῦτα παραδείγματα δηλοῖ,

Γαλλαὶ[5] μητρὸς ὀρείης φιλόθυρσοι δρομάδες,
αἷς ἔντεα παταγεῖται καὶ χάλκεα κρόταλα,
. . . . . .

Καὶ τῷ βραχυκαταλήκτῳ δὲ Ἀνακρέων ὅλα ᾄσματα συνέθηκε·

μεγάλῳ δ' ηὖτε μ' ἔρως ἔκοψεν ὥστε χαλκεὺς[6]
πελέκει, χειμερίῃ δ' ἔλουσεν ἐν χαράδρῃ.

Τῶν δὲ τριμέτρων, rò μὲν ἀκατάληκτον,

†ζαελεξάμαν ὄναρ Κυπρογενήᾳ

παρὰ τῇ Σαπφοῖ· παρὰ δὲ τῷ Ἀνακρέοντι ἑτέρως ἐσχημάτισται,

2 ἅδ' ἀνάγκας θ' libb. 4 Verba ὕστερον δὲ — τούτῳ τῷ μέτρῳ non Hephaestionis sunt, sed scholion in textum inlatum. cf. scholl. ad h. l. (τὸ) et (μητρῳακὸν) restituimus. τούτῳ τῷ μέτρῳ om. Fl 7 καὶ τὸν παλιμβάκχειον] τὸν om. PS M 9 καθαρά] μακρὰ C, καθὰ Fl 10 δηλοῖ marg. C, Pauw] δῆλον C, δῆλα rell. 12 Post κρόταλα unus versus vel plures evanuerunt, „παραδείγματα" illa, ut ipse ait Hephaestio, tertii paeonis vel palimbacchii cum ditrochaeo mixti. Versus Γαλλαὶ μητρὸς et αἷς ἔντεα παταγεῖται exempla sunt contractionis et solutionis ionicorum. 15 συνέθεικε NHBFl 16 μεγάλῳ] μεγάλων C, μεγάλου P 19 ζαελεξάμαν CP, προςελεξάμαν SM, προςεδεξάμαν Π, προςελεξάμην Fl, προςελαβάμαν N Κυπρογενήᾳ Bentl., κυπρογέννᾳ CP, κυπρογενείᾳ Tu 20 τῷ Ἀνακρέοντι] τῷ om. PSF

ἀπό μοι θανεῖν γένοιτ'· οὐ γὰρ ἄν ἄλλη
λύσις ἐκ πόνων γένοιτ' οὐδαμὰ τῶνδε. (50).

τὸ δὲ καταληκτικόν, 75

Διονύσου[7] *σαῦλαι βασσαρίδες.* (Pauw. 55).

(5)5 *Τὸ δὲ (δίμετρον τὸ) ἀκατάληκτον κατὰ τὸν ἀνα-* 76
κλώμενον χαρακτῆρα πολὺ παρὰ τῷ Ἀνακρέοντί ἐστι,

παρὰ δ' ἠῦτε Πυθόμανδρον
κατέδυν ἔρωτα φεύγων. (51)

10 *τῷ δὲ καθαρῷ ἐφθημιμερεῖ ὅλον ᾆσμα Τιμοκρέων συνέθηκε,*

Σικελὸς κομψὸς ἀνὴρ
ποτὶ τὰν ματέρ' ἔφα. (6)

Κεφ. ιγ'. Περὶ παιωνικοῦ. 77

15 (1) *Τὸ δὲ παιωνικὸν*[1] *εἴδη μὲν ἔχει τρία, τό τε κρητικόν*[2]*, καὶ τὸ βακχειακόν, καὶ τὸ παλιμβακχειακόν, ὃ καὶ ἀνεπιτήδειόν ἐστι πρὸς μελοποιίαν*[3]*· τὸ δὲ κρητικὸν ἐπιτήδειον. Δέχεται δὲ καὶ λύσεις*[4] *τὰς εἰς τοὺς καλουμένους παίωνας. Καλεῖται δὲ καὶ* 78
20 *ὑπ' αὐτῶν τῶν ποιητῶν κρητικόν, ὥσπερ ὑπὸ Κρατίνου ἐν Τροφωνίῳ,*

ἔγειρε δὴ νῦν, μοῦσα, κρητικὸν μέλος. (222)

εἶτα ἐπιφέρει,

χαῖρε δή, μοῦσα· χρονία μὲν ἥκεις, ὅμως δ'
25 *ἦλθες οὐ πρίν γε δεῖν, ἴσθι σαφές· ἀλλ' ὅπως.*

4 *Διονύσσου σαῦλε* M, *σάϋλαι* Pauw, Bergk 5 (*δίμετρον τὸ*) Mehlhorn *ἀκαταληκτικὸν* B 8 *Πυθόμανδρον*] *Πυθόμενδρον* C marg. P, *πυθόμαν δὲ* PMTu 15 *παιονικὸν* Fl 16 *καὶ τὸ παλιμβακχειακὸν* om. Fl 25 *οὐ πρίν γε δεῖν* Porson, *οὐ πρὶν ἐλθεῖν* libb.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Σιμμίας δὲ ἐπετήδευσεν ἔν τισι ποιήμασι τοὺς 80
πλείστους κρητικοὺς παραλαμβάνειν,

μᾶτερ ὦ πότνια, κλῦθι, νυμφᾶν ἁβρᾶν [8],
Δῶρι, κυμοκτύπων ἦραν' ἁλίων μυχῶν.

καὶ πάλιν,

σοὶ μὲν εὔιππος, εὔπωλος, ἐγχέσπαλος
δῶκεν αἰχμὰν Ἐνυάλιος εὔσκοπον ἔχειν.

(4) *Ἓν δὲ ποίημα ἐπετήδευσε συνθεῖναι, ὥστε ἀμφοτέρας τὰς ἑκατέρωθεν τοῦ κρητικοῦ μακρὰς λύσας τὸν ἐκ πέντε βραχειῶν παραλαμβάνειν παίωνα πλὴν τῆς τελευταίας, ἐφ' ἧς τὸν τέταρτον παραλαμβάνει παίωνα· ἔσθ' ὅτε δὲ καὶ ἐπὶ τῆς παρατελεύτου κέχρηται,*

σέ ποτε [9] *Διὸς ἀνὰ πύματα νεαρὲ κόρε νεβροχίτων.*

Συντιθέασι δέ τινες καὶ ἑτέρῳ τρόπῳ τὸ τετράμε- 81
τρον, ὥστε τρεῖς εἶναι τοὺς καλουμένους τετάρτους παίωνας, εἶτα τελευταῖον τὸν κρητικόν,

θυμελικὰν ἴθι μάκαρ φιλοφρόνως εἰς ἔριν [10]. (ad. 107)

(5) *ᾧ δὴ* [11] *ἔφαμεν τρόπῳ συνεχῶς κεχρῆσθαι αὐτοὺς ἐπὶ τοῦ τετραμέτρου, ὥστε τοῖς τρισὶ παίωσι τοῖς πρώτοις ἐπάγειν κρητικόν, Τούτῳ καὶ ἐπὶ τοῦ πενταμέτρου Θεόπομπος ὁ κωμικὸς ἐχρήσατο ἐν Παισίν, ἀφ' οὗ· καὶ Θεοπόμπειον καλεῖται,*

πάντ' ἀγαθὰ δὴ γέγονεν ἀνδράσιν ἐμῆς ἀπὸ συνουσίας. (38)

(6) *Δύναται* [12] *δὲ καὶ μέχρι τοῦ ἑξαμέτρου προκόπτειν*

1 *τισι*] *τοῖς* M1 4 *ἦραν' ἁλίων* Salmas., *ἦραν ἁλίων* libb. 7 *δῶκεν*] *ἔδωκεν* PSM *εὔσκοπόν γ'* Tu 8 *ἀμφοτέρας* om. HBFl 9 *λύσας*] *λύσεις* M 10 *παραλαμβάνει* Fl *παίωνα* C, om. rell. 11 *παραλαμβάνει* om. Fl 12 *παρατελευταίου* MTu 18 *θεμελιακὰν* C 20 *τοῦ τετραμέτρου*] *τῶν τετραμέτρων* HBFlM2 25 *προκόπτειν* — *ἑξάμετρον* om. C

τὸ μέτρον διὰ τὸ τριακοντάσημον μὴ ὑπερβάλλειν· τὸ καλούμενον] τὸ τοῦ Ἀλκμᾶνος ἐκ μόνων ἀμφιμάκρων, 82

Ἀφροδίτα μὲν οὐκ ἔστι, μάργος δ' Ἔρως οἷα παῖς παίσδει
ἄκρ' ἐπ' ἄνθη καβαίνων, ἃ μή μοι θίγῃς τῷ κυπαιρίσκῳ. (Alcm. 78)

(γ) Δεδηλώσθω δὲ ὅτι καὶ ὅλα ἄσματα κρητικὰ συντίθεται, ὥσπερ καὶ παρὰ Βακχυλίδῃ,

ὦ Περίκλειτε τἄλλ' ἀγνοήσειν μὲν οὔ σ' ἔλπομαι. (31=16 Bl.)

(δ) Τὸ δὲ βακχειακὸν σπάνιόν ἐστιν, ὥστε, εἰ καί πού ποτε ἐμπέσοι, ἐπὶ βραχὺ εὑρίσκεσθαι, οἷον

ὁ ταῦρος δ' ἔοικεν κυρίξειν τιν' ἀρχάν,
φθάσαντος δ' ἐπ' ἔργοις προπηδήσεταί νιν. † (Anon. 23)

Τοσαῦτα περὶ τῶν ἐννέα τῶν μονοειδῶν[13] καὶ ὁμοιοειδῶν[14] μέτρων.

(ΠΕΡΙ ΤΩΝ ΚΑΤ' ΑΝΤΙΠΑΘΕΙΑΝ ΜΙΞΕΩΝ.)

Κεφ. ιδ'.

(α) Τῆς δὲ κατὰ ἀντιπάθειαν μίξεως νῦν τὰ πυκνότατα παραθησόμεθα[1].

Ἐπιχοριαμβικὸν μὲν οὖν, τὸ Σαπφικὸν καλούμενον ἑνδεκασύλλαβον, οἷον 83

Ποικιλόθρον' ἀθάνατ' Ἀφροδίτα. (Sa. 1. 1).

3 τὸ τοῦ Ἀλκμᾶνος CPM, τὸ om. rell. 4 παῖς Bentl., om. libb., παίσδει CM, παίσδεῖ P, παῖς δὴ Tu, παίσδα NHBFl 5 ἀνθησκαβαίνων M1, ἀνθηκαβαίνων M2 . κυπαιρίσκῳ CPSM Tu, κυπαρίσκω Fl 6 συντίθενται M 8 τ' ἄλλ' Tu, δ' ἄλλ' rell., τἄλλ' Herm. 11 κηρύξειν CP, κυρίζειν E1, κορύξειν E2BFl, κορίξειν H 13 ὁμοειδῶν FlM 14 μέτρων om. PS 21 Ποικιλόφρων S

τοῦτο δὲ τὴν μὲν πρώτην συζυγίαν ἔχει τροχαϊκὴν ἑξάσημον, ἢ ἑπτάσημον· τὴν δὲ δευτέραν, χοριαμβικήν· τὴν δὲ κατακλεῖδα ἐξ ἰάμβου καὶ τῆς ἀδιαφόρου, ὥστε εἶναι τὰ πάντα δύο σχήματα περὶ τὴν τετάρτην συλλαβήν, πῆ μὲν βραχεῖαν γινομένην, πῆ δὲ μακράν. Θάτερον μὲν οὖν σχῆμα, τὸ

Ποικιλόθρον', ἀθάνατ' Ἀφροδίτα

πρόκειται· θάτερον δέ,

ἀλλὰ τυίδ' ἔλθ' αἴ ποτα κἀτέρωτα. (id. 5)

ὥστε εἶναι τὸν κανόνα τοιοῦτον[2],

βαβα βααβ ααββ
βαββ βααβ αβα

ἔστι δὲ καὶ παρ' Ἀλκαίῳ, καὶ ἄδηλον ὁποτέρου ἐστὶν εὕρημα, εἰ καὶ Σαπφικὸν καλεῖται, οἷον 84

χαῖρε Κυλλάνας ὁ μέδεις, σὲ γάρ μοι (Alc. 5. 1).

m. C. | καὶ
θυμὸς ὑμνεῖν, τὸν κορυφᾶς ἐν αὐγαῖς
καὶ
Μαῖα γέννα τῷ Κρονίδῃ, μαιεία.

Τοιούτοις χρῶνται τρισὶν εἰς ἑκάστην στροφήν· εἶτ' ἐπιφέρουσι τὸ τέταρτον πεντασύλλαβον, χοριαμβικὸν πενθημιμερές, συνεμπῖπτον δακτυλικῷ τῷ εἰς δεύτερον τροχαῖον, οἷόν ἐστι τὸ

πότνια θυμόν. (Sa. 1. 4).

1 τοῦτο δὲ om. M 2 ἑξάσημον] ἑξάμετρον BFl 9 ἀλλὰ τυίδ' ἔλθ' αἴ ποτα κατ' ἔρωτα τυίδ' CPSMFl, τοί δ' Tu αἴ ποτα C, αἴ ποτε PSMFl, αἴποτε Tu κατ' ἔρωτα libb. 13 Ἀλκαίῳ] Ἀλκαίωνι libb. pleriq., ἀκαίωνι S, Ἀλμάνι C pr. m. ἄδηλον] δῆλον P 14 καὶ εἰ Σαπφικὸν PSM 15 ὁ μέδεις] ὃς μεδέεις Fl, ὁ μέδων STu 16 καὶ θυμὸς ὑμνεῖν τὸν κορυφᾶσιν αὐγαῖς· καὶ μαία γέννα τῶ κρονίδη μαιεία S, om. rell. 20 τρισὶν] τισὶν P 21 ἐπιφέρουσι τὸ διχοριαμβικὸν HBFl 23 οἷόν ἐστι τὸ τοιοῦτον MTu

(2) τοῦτο μὲν οὖν ἀπὸ τροχαϊκῆς ἐστὶν ἐπιχοριαμβικόν, C.

Ἀπὸ δὲ ἀντισπαστικῆς, τὸ καλούμενον Πινδαρικὸν ἑνδεκασύλλαβον, ὃ τὴν μὲν πρώτην ἀντισπαστικὴν ἔχει, τὰ δὲ λοιπὰ ὁμοίως τῷ Σαπφικῷ χοριαμβικὴν καὶ ἰαμβικὴν κατακλεῖδα, οἷον

Ὁ Μουσαγέτας με καλεῖ χορεῦσαι, — (Pind. fr. 116) So C.
ἄγοις ὦ κλυτὰ θεράποντα Λατοῖ. [Id. 117]

(3) Ἐπιωνικὸν δὲ ἀπὸ μείζονος τρίμετρον καταληκτικόν ἐστι, τὸ καλούμενον Ἀλκαϊκὸν ἑνδεκασύλλαβον· ὃ τὴν μὲν πρώτην συζυγίαν ἔχει ἰαμβικήν, ἤτοι ἑξάσημον ἢ ἑπτάσημον· τὴν δὲ δευτέραν, ἰωνικὴν ἀπὸ μείζονος, ἢ δευτέραν παιωνικήν· τὴν δὲ κατακλεῖδα, ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου, οἷον

ὦ 'ναξ Ἄπολλον, παῖ μεγάλω Διός. (Alc. 1) 85
Μέλαγχρος αἴδως ἄξιος εἰς πόλιν. (Id. 21).

ὥστε εἶναι σχήματα μὲν αὐτοῦ τέσσαρα, κανόνα δὲ τοιόνδε

αβαβ ββαα βαα
ββαβ ββαα βαα
αβαβ αβαα βαα
ββαβ αβαα βαα

(4) Τρίμετρον δὲ ἀκατάληκτον τὸ τούτου περιττεῦον συλλαβῇ τῇ τελευταίᾳ, καλούμενον δὲ Ἀλκαϊκὸν δωδεκασύλλαβον, οἷον

ἰόπλοχ', ἁγνά, μελλιχόμειδε Σάπφοι. (Alc. 55)
οὗ κανὼν οὗτος

3 ἑνδεκασύλλαβον om. C. ἀντισπαστικὴν] ἀναπαιστικὴν HBFl 7 ἄγοις] ἄγεις M 8 ἀπὸ μείζονος om. M 9 Ἀλκαϊκὸν om. P 14 ἄναξ — μεγάλοιο HBFl 15 αἴδως] αἰδὼς TuFl 25 ἰόπλοκ' ἁγνὰ PM, ἰόπλοκ' ἁγνά S μελλιχόμειδε M, μελιχόμειδε PS, μελιχόμειδες C, μελιχόμειδε Fl 26 οὗ κανὼν] καί ἐστιν ὁ κανὼν HBFl

αβαβ ββαα βαβα
ββαβ αβαα βαββ

(5) *Τετράμετρον δὲ καταληκτικὸν ἐπιωνικόν, ὃ τὴν* 86
μὲν πρώτην ἔχει ἰαμβικήν, ἤτοι ἑξάσημον ἢ ἑπτά-
σημον, τὴν δὲ δευτέραν ἰωνικὴν ἢ δευτέραν παιω-
νικήν, τὴν δὲ τρίτην τροχαϊκὴν ἑξάσημον ἢ ἑπτά-
σημον, εἶτα τὴν ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου
κατακλεῖδα, οἷον

τοιοῦτος εἰς Θήβας πάϊς ἁρμάτεσσ' ὀχήμενος. (ad. 51)

Μάλις μὲν ἔννη λεπτον ἔχοισ' ἐπ' ἀτράκτω λίνον. (ad. 52)

m. C. *κανὼν δὲ αὐτοῦ* <u>*οὗτος*</u>

αβαβ ββαα βαβα βαα
ββαβ αβαα βαββ βαβ.

(6) *Ἀπ' ἐλάσσονος δὲ ἐπιωνικὸν τρίμετρον ἀκατά-*
ληκτόν ἐστι παρ' Ἀλκμᾶνι· ὃ τὴν μὲν πρώτην ἔχει
ἰαμβικὴν ἑξάσημον ἢ ἑπτάσημον, τὰς δὲ ἑξῆς δύο
ἰωνικὰς ἑξασήμους καθαράς, οἷον

περισσόν. αἳ γὰρ Ἀπόλλων ὁ Λύκηος. (Alcm. 83)
Ἰνὼ σαλασσομέδοισ' ἂν ἀπὸ μάσδων. (ad. 84)

m. C. *κανὼν δὲ αὐτοῦ* <u>*οὗτος*</u>

αβαβ ααββ ααββ
ββαβ ααββ ααβα.

(7) *Καθαροῦ μὲν ὄντος τοῦ ἰωνικοῦ, τοῦτο· ἀνα-*
κλωμένου[3] *δὲ ὄντος αὐτοῦ, προταχθεῖσα ἰαμβικὴ* 87
ἑξάσημος ἢ ἑπτάσημος ποιεῖ τὸ τοιοῦτον, οἷον παρὰ
Σαπφοῖ

7 *τῆς ἀδιαφόρου*] *τῆς* om. CP 9 *ἁρμάτεσσ' ὀχήμενος* M2, *ἁρμάτεσσι* libb., *χείμενος* C, *χήμενος* rell. 10 *μᾶλις* C, *μάλις* P 14 *ἀκαταλήκτον* om. Tu 18 *Λύκηος* CP, *Λύκιος* MTuFl 19 *ἰνωσαλασσομέδοισαν* C; *σαλασσομέδοισὰν* P, *σάλας ὁμέδοισαν* SMTu, *σάλας ὁ μίδοισαν* Fl *ἀπομάσδων* SMTuFl 24 *ἰαμβικὴ ἤτοι ἑξάσημος* MTu 25 *ἢ ἑπτάση-*

ἔχει μὲν Ἀνδρομέδα καλὰν ἀμοιβάν. (58)
Ψάπφοι τί τὰν πολύολβον Ἀφροδίταν. (59)

κανὼν δὲ αὐτοῦ οὗτος

αβαβ ααβα ββαβ
ββαβ ααβα βαβα.

(ΠΕΡΙ ΑΣΥΝΑΡΤΗΤΩΝ.)

Κεφ. ιε΄.

(1) Γίνεται δὲ καὶ ἀσυνάρτητα[1], ὁπόταν δύο κῶλα μὴ δυνάμενα ἀλλήλοις συναρτηθῆναι μηδὲ ἕνωσιν ἔχειν ἀντὶ ἑνὸς μόνου παραλαμβάνηται στίχου.

(Περὶ τῶν ἐπισυνθέτων.)

(2) Πρῶτος δὲ καὶ τούτοις Ἀρχίλοχος κέχρηται· πῆ μὲν γὰρ ἐποίησεν ἔκ τε ἀναπαιστικοῦ ἐφθημιμεροῦς καὶ τροχαϊκοῦ ἡμιολίου[2] τοῦ καλουμένου ἰθυφαλλικοῦ 88

Ἐρασμονίδη Χαρίλαε, χρῆμά τοι γελοῖον. (Ath. 79)

Τοῦτο δὲ οἱ μετ' αὐτὸν οὐχ ὁμοίως αὐτῷ ἔγραψαν· οὗτος μὲν γὰρ τῇ τε τομῇ δι' ὅλου κέχρηται τοῦ ἐφθημιμερούς[3], καὶ σπονδείους παρέλαβεν ἐν τῷ ἀναπαιστικῷ κώλῳ, οἷον

Ἀστῶν δ' οἱ μὲν κατόπισθεν ἦσαν· οἱ δὲ πολλοί. (Ath. 21).

μος om. Fl 1 Ἀνδρομέδαν CP καλὰ CPSM 2 Ψαπφοῖ CPSH, Ψαφοι Fl 3 αὐτοῦ οὗτος] αὐτοῦ ὅδε MTu 8 καὶ ἀσυνάρτητα] καὶ om. MTu 10 παραλαμβάνηται] -εται C, -ωνται Tu, -ονται M 18 ὅλου]ὅλον suprascr. P τοῦ ἐφθημιμερούς] τοῦ om. M 20 κώλῳ S, κῶλῳ δύο Tu, κόλῳ C, κύκλῳ NHBFlM2 21 ἦσαν Meineke, ἦσαν libb.

οἱ δὲ μετ' αὐτὸν[4] τῇ μὲν τομῇ ἀδιαφόρως ἐχρήσαντο, ὥσπερ Κρατῖνος

χαῖρ', ὦ μέγ' ἀχρειόγελως[5] ὅμιλε, ταῖς ἐπίβδαις,
τῆς ἡμετέρας σοφίας κριτὴς ἄριστε πάντων,
εὐδαίμον' ἔτικτέ[6] σε μήτηρ ἰκρίων ψόφησις. (323)

ἐνταῦθα γὰρ ὁμοίως[7] τὸ τρίτον μέτρον τέτμηται τοῖς 89
Ἀρχιλοχείοις, τὰ δὲ πρὸ αὐτοῦ δύο, πρὸ συλλαβῆς.

(3) Καὶ μέντοι καὶ τοὺς σπονδείους παρῃτήσαντο τοὺς ἐν τῷ μέσῳ οἱ μετὰ τὸν Ἀρχίλοχον, οὐχ ὡς ἀναπαιστικὸν ἡγούμενοι, ἀλλὰ προσοδιακόν, τὸ ἐξ ἰωνικῆς καὶ χοριαμβικῆς, τῆς ἰωνικῆς καὶ βραχεῖαν τὴν πρώτην δεχομένης[8]. Δύναται δὲ καὶ εἰς τριποδίαν ἀναπαιστικὴν διαιρεῖσθαι[9], εἰ ἀπὸ σπονδείου ἄρχοιτο, οἷον τὸ Σαπφοῦς

αὐτὰ[10] δέ σ', Καλλιόπα, (82)

τοῦ προσοδιακοῦ[11] ὃν καὶ τοῦτο εἶδος, {τὸ ἐξ ἰωνικοῦ καὶ χοριαμβικοῦ συγκείμενον.

(4) Τὸ τοίνυν ἀναπαιστικὸν εἴ τις οὕτω διαιροῖτο, 90
εὑρήσει τῷ προσοδιακῷ ἐφαρμόζον. Ἐὰν μὲν γὰρ σπονδεῖον ἔχῃ τὸν πρῶτον, τοὺς δὲ ἑξῆς ἀναπαίστους[12], τὰς τοῦ δευτέρου ἀναπαίστου δύο βραχείας προσθεὶς τῷ σπονδείῳ ποιήσεις ἰωνικὸν ἀπὸ μείζονος, ᾧ ἐφεξῆς χορίαμβος.

1 μετ' αὐτὸν] add. Ἀρχίλοχον Tu 2 Κρατῖνος] add. ἐν τοῖς τοιούτοις MTu, ἐν τοῖς Πλούτοις Meineke 3 μέγα χρειογέλως Tu, ἀχρειόγελος Fl ὅμιλε, ταῖς] ὁμῑλεταῖς P, ὁμιλετεῖν C, ὁμιλετὴς Tu, ὁ μῑταῖς Fl 5 ἔκτισε τε — ψόφησιν Fl 6 τρίτον μέτρον Tyrwhitt, τρίμετρον Tu, τρίτον all.,Gaisf. τέτμηται] τετίμηται M 10 προσωδιακὸν FlM2 12 τρίτον ἀνάπαιστον PSNHBFlM2Gaisf , τρίμετρον ἀνάπαιστον TuM. Lege τριποδίαν ἀναπαιστικὴν coll. schol. Nub. 651. 13 σπονδείου Tu, σπονδείων all.,Gaisf. 16 ὃν Hermann, ἓν libb. 18 διαιροῖτο SMTuC2, διαιρεῖτο P, διαιρεῖ CNHBFl 20 τὸ πρῶτον P 22 προσθεὶς CPSMTu, προστιθεὶς Fl ποιήσεις CPMTu, ποιήσει Fl... 23 οἷς ἑξῆς χορίαμβος C, οἷς ἑξῆς χορίαμβον

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

ναι[15] *τῷ Ἀρχιλόχῳ πρὸς τοὺς μετ' αὐτόν, καθ' ἣν ἀναπαίστῳ δοκεῖ τῷ πρώτῳ χρῆσθαι,*

Ἐρέω πολὺ φίλταθ' ἑταίρων, τέρψεαι δ' ἀκούων. (80)
φιλέειν στυγνόν περ ἐόντα, μηδὲ διαλέγεσθαι. (81)

ᾧ οὐκ ἐχρήσαντο ἐκεῖνοι· φαίνεται δ' οὐδ' αὐτὸς κεχρημένος, δύναται γὰρ ἀμφότερα κατὰ συνεκφώνησιν εἰς ἴαμβον περιίστασθαι. Ἡ δὲ τοῦ ἀναπαιστικοῦ φαντασία γέγονε διὰ τὴν ἰωνικὴν ἐν ἑκατέρῳ διαίρεσιν· ὥστε τὰς προειρημένας δύο μόνας διαφορὰς εἶναι τοῖς νεωτέροις πρὸς τὸν ἰαμβοποιὸν[16] *Ἀρχίλοχον. Κρατῖνος δὲ ὅταν λέγῃ ἐν τοῖς Ἀρχιλόχοις*

Ἐρασμονίδη Βάθιππε τῶν ἀωρολείων[17], (82) 93

τοῦτο τὸ μέτρον ἀγνοεῖ, ὅτι οὐκ ἄντικρυς μιμεῖται τοῦ Ἀρχιλόχου τὸν Ἐρασμονίδην.

(8)β. *Ἓν μὲν δὴ τοῦτο τῶν παρ' Ἀρχιλόχῳ ἀσυναρτήτων. Ἄλλο δὲ τὸ ἐκ δακτυλικῆς τετραποδίας καὶ τοῦ αὐτοῦ ἰθυφαλλικοῦ*[18], (Archil. 100)

Οὐκ ἔθ' ὁμῶς θάλλεις ἁπαλὸν χρόα, κάρφεται γὰρ ἤδη.

γίνεται δὲ ὁ τελευταῖος[19] *τῆς τετραποδίας διὰ τὴν ἐπὶ τέλους ἀδιάφορον καὶ κρητικός,*

καὶ βήσσας ὀρέων δυσπαιπάλους οἷος ἦν ἐπ' ἠβῆς. (Arch. 115)

Τοῦτο παρὰ μὲν τοῖς νεωτέροις πολὺ τὸ μέτρον ἐστίν, ὥσπερ καὶ παρὰ Καλλιμάχῳ

---

7 *τοῦ ἀναπαίστου φαντασία* Gaisf. cum TuFl. Lege *τοῦ ἀναπαιστικοῦ* cum C, *φαντασία τοῦ ἀνάπαιστον* PS, *φαντασία τοῦ ἀναπαίστου* M 8 *γέγονε*] *γεγονέναι* P, *γεγονέναι* NHFl 11 *ὅταν λέγοι* Fl 15 *τὸν Ἐρασμονίδην* CPMFl. Aut sic aut *τὸ Ἐρασμονίδη* legendum. Gaisford *τὸν Ἐρασμονίδη*. 18 post *ἰθυφαλλικοῦ* add. Tu: *οἷόν ἐστι τὸ τοιοῦτον* 21 post *καὶ κρητικὸς* add. Tu: *οἷόν ἐστιν οὗτος* 22 *οἷος*] *οἷον* CPS *ἦν ἐπήβης* CPS, *ἦν ἐπ' ἤβης* MFl 23 *Τοῦτο παρὰ μὲν* MTu, *μὲν* om. rell. 24 *ὥσπερ καὶ*] *καὶ* om. Tu

τόν με παλαιστρίταν ὁμόσας θεὸν ἑπτάκις φιλήσειν. (191)

παρὰ δὲ Κρατίνῳ ἐν τοῖς Σεριφίοις οὐκέτι ἀκατάληκτόν ἐστι τὸ δακτυλικὸν τὸ ἡγούμενον τοῦ ἰθυφαλλικοῦ, ἀλλὰ καταληκτικὸν εἰς δισύλλαβον, 94

χαίρετε πάντες ὅσοι πολύβωτον ποντίαν Σέριφον.

(9) *γ. Τρίτον δέ ἐστι παρ' Ἀρχιλόχῳ ἀσυνάρτητον*[20] *ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου,*

ἀλλά μ' ὁ λυσιμελής, ὦ 'ταῖρε, δάμναται πόθος. (85)

(10) *δ. Ἐνδοξόν ἐστι καὶ ἐπισύνθετον*[21] *καὶ τὸ διπενθημιμερὲς τὸ ἐγκωμιολογικὸν καλούμενον, ὅπερ ἐστὶν ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ τοῦ ἴσου, ᾧ κέχρηται μὲν καὶ Ἀλκαῖος ἐν ἄσμασι, οὗ ἡ ἀρχή*

Ἦ ῥ' ἔτι Δινομένῃ τῷ Τυρρακήῳ
τἄρμενα λαμπρὰ κέατ' ἐν μυρσινήῳ. (94)

κέχρηται δὲ καὶ Ἀνακρέων ἐν πλείοσιν ἄσμασιν, 95

Ὀρσόλοπος μὲν Ἄρης φιλέει μεναιχμάν. (70)

(11) *ε. Τὸ δὲ ἀντεστραμμένον*[22] *τούτῳ ἰαμβέλεγος καλεῖται· τούτῳ δὲ ἐν συνεχείᾳ οὐκ ἴσμεν τινὰ κεχρημένον, διεσπαρμένως δέ·*

πρῶτον μὲν εὔβουλον Θέμιν οὐρανίαν. (Fr. 30. 1).

1 *παλαιστρήταν* MFl 2 *σερίφοις* libb., *περίφοις* P 5 *χαίρετε πάντες κτλ.* Dobraeus] *πάντες θεοὶ* libb., *πάντα θεοὶ οἱ πολύβρωτον ποντίαν* C, *παντοῖαν* pro *ποντίαν* Fl 9 *λυσιτελὴς* libb. *πάθος* Tu 10 *καὶ ἐπισύνθετον*] *καὶ* om. Tu 12 *ὅπερ ἐστὶν*] *ἐστὶν* om. HBFl 13 *καὶ Ἀλκαῖος*] *καὶ* om. Tu *ἔν ἄσμασιν* Fl 15 *δινομένη* CPSMHBFl *τῷ τυρρακήῳ* C PSM, *τῷ τυρράκκω* HBFl 16 *μυρσίνῳ* CFl, *μυρσίννω* SM, *μυρσῆννω* P 18 *ὀρσόλοπος* CP, *ὀρσόλεπος* SHFl, *ὀρσόλεπτος* B, *ὄρσ' ὁ λέπος* M, *ὀρσ' ὀλέπος* Tu *φιλέειν* SHBFl *μὲν αἰχμάν* libb. 20 *τοῦτο* STu

κείνων λυθέντων σαῖς ὑπὸ χερσὶν ἄναξ.

(12) ς. *Γίνεται δὲ καὶ τριπενθημιμερὲς ἐκ τούτων τὸ καλούμενον Πλατωνικόν, ἐν ᾧ τὰ μὲν ἑκατέρωθεν δύο δακτυλικά εἰσι πενθημιμερῆ, τὸ δὲ μέσον ἰαμβικόν· κέχρηται δὲ αὐτῷ Πλάτων ἐν Ξαντρίαις,*

χαῖρε παλαιογόνων ἀνδρῶν θεατῶν ξύλλογε παντοσόφων.

(13) ξ. *Ἀντεστραμμένον*[23] *δέ ἐστι τούτῳ τὸ Πινδαρικὸν καλούμενον,*

ὃς καὶ τυπεὶς ἀγνῷ πελέκει τέκετο ξανθὰν Ἀθάναν.

σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος αἴνησαν περισσῶς.

(*Περὶ τοῦ μονοειδοῦς τοῦ καλουμένου ἐλεγείου.*)

(14) η. *Τοῦ δὲ δακτυλικοῦ πενθημιμεροῦς δὶς λαμβανομένου γίνεται τὸ ἐλεγεῖον· ἀλλὰ τὸ μὲν δεύτερον αὐτοῦ μέρος ἑπτασύλλαβον ἀεὶ μένει, ἐκ δύο δακτύλων καὶ συλλαβῆς, τὸ δὲ πρότερον κινουμένους ἔχει τοὺς δύο πόδας, ὥστε ἢ δακτύλους αὐτοὺς γίνεσθαι ἢ σπονδείους, ἢ τὸν μὲν πρότερον δάκτυλον, τὸν δὲ δεύτερον σπονδεῖον· ἢ ἀνάπαλιν, τὸν μὲν πρότερον σπονδεῖον, τὸν δὲ δεύτερον δάκτυλον· παρ' ἣν αἰτίαν τὸ μὲν δεύτερον (μέρος) ἀεὶ διπλασιαζόμενον*[24] *ἐλεγεῖον ποιεῖ, τὸ δὲ πρότερον οὐκέτι, ἐὰν μὴ ἐκ δύο δακτύλων συνεστήκῃ, οἷον*

Νήϊδες οἳ Μούσης οὐκ ἐγένοντο, φίλοι.

1 *λύθεντες* C 4 *δακτυλικὰ*] *πλατωνικὰ* CP 6 *ξύλλογον* N *πανσόφων* CP 9 *τυπεὶς*] *τυπῶς* H, *τι πῶς* BFl 12 *δακτυλικοῦ*] *καταληκτικοῦ* C *δὶς*] *δύο* Fl 16 *δύο πόδας*] *δύο* om. C *αὐτοὺς* om. Tu 17 *γίνεσθαι*] *γενέσθαι* Fl *τὸν μὲν πρότερον δάκτυλον ... τὸν μὲν πρότερον σπονδεῖον* PS] rell. *πρῶτον* pro *πρότερον* Gaisf. 20 *μέρος* om. libb. 21 *ἐλεγεῖον*] *τὴν ἐλεγείαν* libb.Gaisf., *τὸ ἐλεγεῖον* Santen. *τὸ δὲ πρότερον οὐκέτι*] *δὲ* om.S 22 *δακτύλων*] *δακτυλικῶν* BFlM2 *συνεστήκει* CPS, *συνεστήκοι* MTu

[τὸ μὲν δεύτερον διπλασιασθὲν ποιεῖ ἐλεγείαν, τὸ δὲ πρότερον οὔ] ὥστε αὐτὸ (τὸ ἐλεγεῖον) ποτὲ μὲν τεσσαρεσκαιδεκασύλλαβον γίνεσθαι, ποτὲ δὲ τρισκαιδεκασύλλαβον, ποτὲ δὲ δωδεκασύλλαβον.

(15) Καὶ τοῦ μὲν τεσσαρεσκαιδεκασυλλάβου ἓν σχῆμα 97
παῖς ἄτε, τῶν δ' ἐτέων ἡ δεκὰς οὐκ ὀλίγη. (Call. 489)

ὁμοίως δὲ τοῦ δωδεκασυλλάβου ἕν
τίκτεσθαι· βροντᾶν δ' οὐκ ἐμόν, ἀλλὰ Διός. (Call. 490)

Τοῦ δὲ τρισκαιδεκασυλλάβου δύο σχήματα· ποτὲ μὲν πρῶτος ὁ δάκτυλος

Νήϊδες οἳ Μούσης οὐκ ἐγένοντο, φίλοι.

ποτὲ δὲ δεύτερος

ῥέξειν, καὶ στεφέων εὔαδε τῷ Παρίῳ. (Call. 491)

Δεῖ δὲ τὸ ἐλεγεῖον[25] τέμνεσθαι πάντως καθ' ἕτερον τῶν πενθημιμερῶν· εἰ δὲ μή, ἔσται πεπλημμελημένον, οἷον τὸ Καλλιμάχου

ἱερά, νῦν δὲ Διοσκουρίδεω[26] γενεή. (Call. 192)

[Περὶ τῶν ἀντιπαθῶν.]

(16) θ. Ἄλλο ἀσυνάρτητον ὁμοίως κατὰ τὴν πρώτην 98
ἀντιπάθειαν[27], ἐξ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου καὶ τροχαϊκοῦ ἐφθημιμεροῦς, τοῦ καλουμένου Εὐριπιδείου, οἷον τὸ ἐν τοῖς ἀναφερομένοις εἰς Ἀρχίλοχον Ἰοβάκχοις

Δήμητρος ἁγνῆς καὶ Κόρης τὴν πανήγυριν σέβων. (120).

(17) ι. Ἄλλο τούτου ἔλαττον[28] κατὰ τὴν τελευταίαν

1 τὸ μὲν δεύτερον κτλ. delevimus. 2 (τὸ ἐλεγεῖον) adiecimus. 3 γίνεσθαι P, om. rell. ποτὲ δὲ τρισκαιδεκασύλλαβον om. Fl... 4 ποτὲ δὲ δωδεκασύλλαβον om. Tu 6 παῖς ἄτε] παίσατε libb. 15 ἕτερον] ἕκαστον N 23 οἷον τὸ] οἷόν ἐστι τὸ SM

συλλαβὴν τὸ καλούμενον Εὐριπίδειον τεσσαρεσκαιδεκασύλλαβον, οἷον παρὰ μὲν αὐτῷ Εὐριπίδῃ

Ἑῷος[29] *ἡνίχ' ἵππότας ἐξέλαμψεν ἀστήρ.* (fr. 929).

παρὰ δὲ Καλλιμάχῳ

ἔνεστ' Ἀπόλλωνι τῷ χορῷ· τῆς λύρης ἀκούω·
καὶ τῶν Ἐρώτων ἡσθόμην· ἔστι κἀφροδίτη. (116)

(18)ια. Ἄλλο ἀσυνάρτητον ὁμοίως κατὰ τὴν πρώτην ἀντιπάθειαν[30]*, ἐκ τροχαϊκοῦ διμέτρου ἀκαταλήκτου καὶ ἰαμβικοῦ ἑφθημιμεροῦς, ὅπερ, ἐὰν παραλλάξῃ* 99 *τὴν τομήν, γίνεται τροχαϊκὸν προκαταληκτικόν*[31]

ἔστι μοι καλὰ πάϊς χρυσέοισιν ἀνθέμοισιν
ἐμφερῆ ἔχοισα μορφάν, Κλε(η)ὶς ἀγαπατά,
ἀντὶ τᾶς ἐγὼ οὐδὲ Λυδίαν πᾶσαν, οὐδ' ἐραννάν. (Sapph. 85)

(19) τούτων δὲ τὸ μὲν δεύτερον δῆλόν ἐστιν ἀπὸ τῆς τομῆς ὅτι οὕτως σύγκειται, ὡς προείρηται, ἐκ τοῦ τροχαϊκοῦ διμέτρου ἀκαταλήκτου καὶ τοῦ ἑφθημιμεροῦς ἰαμβικοῦ· τὸ δὲ πρῶτον, διὰ τὸ πρὸ συλλαβῆς ἔχειν τὴν τομήν, ἐγένετο προκαταληκτικόν, 100 *ἐκ τροχαϊκοῦ ἑφθημιμεροῦς, τοῦ*

ἔστι μοι καλὰ πάϊς,

καὶ διμέτρου ἀκαταλήκτου, τοῦ

χρυσέοισιν ἀνθέμοισιν[32]*.*

τὸ δὲ τρίτον ἐξ ὑπερκαταλήκτου[33]*,*

5 *ἀκούω καὶ τῶν Ἐρώτων* om C 6 *κἀφροδίτη*] *χἀπόλλων ἀφροδίτη* P, *χ' ἀπολλ. ἀφρ.* C 11 *ἀνθέμοισιν*] *ἀνθέσμοισιν* Fl 12 *ἔχουσα* Fl. *ἐμφέρην* pro *ἐμφερῆ* Bergk. *κλεῖς* libb., *κλεὶς* Fl. Hephaestio hoc loco amphibrachum vel palimbacchium legit, quam ob rem Gaisf. *ἃ Κλῃῖς* vel *ἃ Κλαῖς*, Ahrens *Κλεηὶς* scriptum fuisse suspicatur. *ἀγαπατά* Bentl.] *ἀγαπατά* libb. 13 *οὐ Λυδίαν* Fl 14 post *δεύτερον* habent MTu: *δηλαδὴ τὸ ἑφθημιμερῆ ἐμφερῆ ἔχον μορφὴν κλεῖς ἀγαπητὰ* 15 *οὕτως σύγκειται*] *οὐ σύγκειται* TuM *ὡς προείρηται*] *ὥσπερ εἴρηται* C

ἀντὶ τᾶς ἐγὼ οὐδὲ Λυδίαν.

καὶ βραχυκαταλήκτου[34],

πᾶσαν οὐδ' ἐραννάν.

(20) ιβ. Ἀνακρέων δὲ οὐκ ἰαμβικῷ ἀλλὰ χοριαμβικῷ ἐπιμίκτῳ πρὸς τὰς ἰαμβικὰς ἐπήγαγε τὸ ἰθυφαλλικόν, τὸν μυροποιὸν[35] ἠρόμην Στράττιν εἰ κομήσει. (30)

(21) ιγ. Τούτου δὲ μεῖζόν ἐστι συλλαβῇ τῇ τελευταίᾳ τὸ καλούμενον Κρατίνειον. Ἔστι γὰρ ἐκ χοριαμβικοῦ ἐπιμίκτου, τοῦ τὴν δευτέραν ἰαμβικὴν ἔχοντος, καὶ τροχαϊκοῦ ἐφθημιμεροῦς·

Εὔϊε κισσοχαῖτ' ἄναξ, χαῖρ', ἔφασκ' Ἐκφαντίδης, (324a)
πάντα φορητά, πάντα τολμητὰ τῷδε τῷ χορῷ, (324b) 101
πλὴν Ξενίου νόμοισι, καὶ Σχοινίωνος, ὦ Χάρον. (324c) 102

(22) Τὸ μὲν οὖν καθαρὸν Κρατίνειον τοιοῦτόν ἐστι. Πολυσχημάτιστον δὲ αὐτὸ πεποιήκασιν οἱ κωμικοί. Τοὺς γὰρ σπονδείους[36] τοὺς ἐμπίπτοντας ἐν 103
τοῖς ἰαμβικοῖς καὶ τοῖς τροχαϊκοῖς παρὰ τάξιν παραλαμβάνουσιν ἐν ταῖς μέσαις[37] συζυγίαις, τῇ τροχαϊκῇ καὶ τῇ ἰαμβικῇ. Εὔπολις δὲ ἐν τοῖς Ἀστρατεύτοις καὶ ἀτακτοτάτως συνέθηκε τὸ εἶδος· πῇ μὲν 104
γὰρ τοιαῦτα ποιεῖ,

ἄνδρες ἑταῖροι δεῦρ' ἤδη τὴν γνώμην προσίσχετε[38],
εἰ δυνατόν, καὶ μή τι μεῖζον πράττουσα τυγχάνει. (37)

πῇ δὲ τοιαῦτα,

1 *οὐδὲ Λυδίαν*] *οὐ Λυδίας* Fl 6 *μυροποιὸν* Bergk] *λυροποιὸν* libb. *Στράτιν εἰ κομίσει* MTu 9 *ἐπιμίκτου τοῦ*] *τοῦ* om. Fl 11 *ἔφασκε· φαντίδης* MTu 13 *Σχοινίωνος*] *χοινίωνος* Fl *Χάρων* M 19 *Ἀστρατεύτοις* Tu] *εὐστρατεύτοις* CPSMB 20 *ἀτακτοτάτοις* C, *ἀτακτότατα* MTu 22 *δεῦρ' ἤδη* libb. Hoc ipsum legit Hephaestio. Vetus lectio *δεῦρο δὴ* ab Hermanno restituta. *προσίσχετε* Hermann, *προΐσχετε* libb. 23 *μή τοι — τυγχάνῃ* Fl

καὶ ξυνεγινόμην ἀεὶ τοῖς ἀγάθοῖς φάγροισιν[39]. (38)
ὥσθ' ὅλον αὐτὸ χοριαμβικὸν ἐπίμικτον γενέσθαι,
ὅμοιον Ἀνακρεοντείῳ τῷδε,
Σίμαλὸν εἶδον ἐν χορῷ πηκτίδ' ἔχοντα καλήν. (Anacr. 22)
πῇ δὲ καὶ ἄλλοις ἐχρήσατο λίαν ἀτάκτοις σχήμασι.

(*Περὶ τῶν μονοειδῶν καὶ τῶν ὁμοιοειδῶν.*) om. C.

(23) *ιδ. Καὶ τὸ ἐκ τῶν ἀντισπαστικῶν*[40] *δὲ καταληκτικῶν διμέτρων δικατάληκτον*[41], *ὃ Φερεκράτης ἑνώσας, σύμπτυκτον*[42] *ἀνάπαιστον καλεῖ, ἐν τῇ Κο-*
ριαννοΐ,

ἄνδρες πρόσχετε τὸν νοῦν[43] *ἐξευρήματι καινῷ*
συμπτύκτοις ἀναπαίστοις. (19)

(24) *ιε. Καὶ τὸ ἐκ τῶν ἰαμβικῶν ἑφθημιμερῶν δικατάληκτον Καλλίμαχος,*

Δήμητρι τῇ πυλαίῃ τῇ τοῦτον δὴκ Πελασγῶν, (cfr. 39. 1)
ὅπερ προέταξεν ἐπισυνθέτου, τοῦ ἐκ δακτυλικῆς τετραποδίας καὶ ἰθυφαλλικοῦ, τοῦδε

Ἀκρίσιος τὸν νηὸν ἐδείματο ταῦθ' ὁ Ναυκρατίτης. (id. 2)

(25) *ις. Καὶ τὸ ἐξ ἰθυφαλλικῶν δύο ἡ Σαπφὼ πεποίηκε*

δεῦρο δηῦτε[44] *Μοῖσαι χρύσεον λιποῖσαι.* (84)

1 *ξυνεγινόμην*] *ξυνεγεννόμην* MTu, *ξυνεγιννόμην* M2 *ἀεὶ*] *ἂν* Fl 2 *αὐτὸ χοριαμβικὸν*] *αὐτὸν χ.* CΓu 4 *Σίμαλον* CTu, *σίμαλλον* B, *σίμετρον* Fl *πυκτίδ'* CS 5 *πῇ δὲ καὶ ἄλλοις* C, *καὶ ἐν ἄλλοις* PSM *ἐχρήσαντο* CS 7 Huc revocandum est illud quod supra scriptum est in libris de asynarteto elegiaco.

7 *καταληκτικὸν δίμετρον* NBFl, *καταληκτικῶν διμέτρων* M 8 *δικαταλήκτων* C 9 *σύμικτον* C, *σύμπηκτον* P, *σύμμικτον* M, *σύμπυκτον* SFl 11 *προσέχετε* C *ἐξευρήματι καινῷ* om. Fl 12 *συμπύκτοις* C, *συμπῆκτοις* P, *συμμίκτοις* M 15 *Δήμητρον* P *οὐκ ἐκ* C, *ὁ ἐκ* Fl 17 *καὶ ἰθυφαλλικοῦ*] *ἢ ἰθυφ.* Fl 18 *ἐδήματο* P 19 *πεποίηται* C

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



κἀγὼ δ' ἐξ εὐεργεσίης ὠργιασμένος ἦκω,
ὁδεύων Πηλουσιακὸν κνεφαῖος παρὰ τέλμα.

(3) *Ὁμοίως δὲ καὶ ἐπὶ τῶν Γλυκωνείων*[8] *τοιαῦτα* 110
σχήματα παραλαμβάνεται, οἷον ἐν τοῖς Κορίννης
καλὰ γέροια εἰσομένα[9].
Ταναγρίδεσσι λευκοπέπλοις.
μέγα δ' ἐμὴ γέγαθε πόλις.
λιγουροκωτίλης[10] *ἐνοπῆς.* (20)
ὧδε καὶ τόδε 111
καὶ πεντήκονθ' ὑψιβίας. (Cr. 13).
Ἔτι δὲ καὶ πλείοσιν αὕτη κέχρηται σχήμασιν,
δούρατος ὥστ' ἐφ' ἵππω.
κατὰ μὲν βριμούμενοι.
πόλιν δ' ἐπράθομεν[11].
προφανὴς Γλούκου δέ τις ἄδων. †προφανεὶς· γ- C. 112
πελέκεσσι δονεῖται.

(4) *Τάχα δὲ καὶ τὸ κωμικόν, τὸ καλούμενον ἐπιωνικόν, πολυσχημάτιστον συνέθεσαν. Μάλιστα δ' ἐν αὐτῷ ἀταξία πολλή, ἢ τοὺς σπονδείους ἐπὶ ἀρτίους χώρας ἔχουσα τῶν ἰαμβικῶν συζυγιῶν, οἷον παρ' Εὐπόλιδι ἐν Χρυσῷ Γένει,*

ὦ καλλίστη πόλι πασῶν ὅσας Κλέων ἐφορᾷ,
ὡς εὐδαίμων πρότερόν τ' ἦσθα, νῦν δὲ μᾶλλον ἔσει. (200)

2 *κνεφαῖος* om. Fl *τέλμα*] *λαῖτμα* Fl 3 *τὰ τοιαῦτα σχήματα* Tu 4 *Κορίννης*] *κορίννοις* C 5 *καλὰ* om. Fl *γέρεια* Tu 6 *λευκοπέπλους* Fl 7 *μεγά δ' ἐμὴ μέγαδε πόλις* Fl, *μεγά δ' ἐ δε πόλις* C, *γέγαθε σε πόλις* P 8 *λιγουροκωτίλης* Tu, —*κοτίλης* rell. *ἐνοπῆ* C 10 *πεντήκοντ' οὐψιβίας* P, *πεντήκοντα ὑψιβίας* M 13 *κατὰ*] *καὶ τὰ* C, *κατὰ*, suprasc. *καὶ* P *βριμόμενοι* C 14 *πόλιν δ'*]*πολιν εὖ* M2 15 *προφανεῖς* P *γλυκοῦ* MTu *ἀείδων* C, *ἀίδων* P, *ἀηδῶν* M2, *αἰδὼν* Fl 16 *πελεκέσι* M 17 *ἐπιιωνικὸν* M 23 *μᾶλλον ἔσση* C, *μᾶλλον ἔση* rell.

(5) Καὶ τὸ Εὐπολίδειον τὸ καλούμενον ἐπιχοριαμβικὸν πολυσχημάτιστόν ἐστιν, ἐν ᾧ τὰς τροχαϊκὰς παρὰ τάξιν ποιοῦσι δέχεσθαι τὸν σπονδεῖον· ἐνίοτε δὲ καὶ ἀντισπαστικὸν καθαρὸν ποιοῦσιν, οἷον

εὐφράνας ἡμᾶς ἀπόπεμπ' οἴκαδ' ἄλλον ἄλλοσε.
ὁ σώφρων τε χὠ καταπύγων ἄριστ' ἠκουσάτην.

(6) Καὶ τὸ Κρατίνειον[12] δὲ τὸ ἀσυνάρτητον ἐκ χοριαμβικοῦ καὶ τροχαϊκοῦ πολυσχημάτιστόν ἐστιν. Ἀρκέσει τοῦτο δεῖξαι ἡ παράβασις ἡ ἐν τοῖς Ἀστρατεύτοις Εὐπόλιδος πᾶσα, ἵνα μὴ νῦν μηκύνωμεν παραδείγματα παρατιθέμενοι.

Τοσαῦτα περὶ τῶν μέτρων· περὶ δὲ ποιήματος ἑξῆς ῥητέον.

(Δ.) ΠΕΡΙ ΠΟΙΗΜΑΤΟΣ.

Κεφ. ιζ.

Τῶν ποιημάτων τὰ μέν ἐστι κατὰ στίχον, τὰ δὲ συστηματικά, τὰ δὲ μικτά, τὰ δὲ κοινά.

Κατὰ στίχον μὲν ὅσα ὑπὸ τοῦ αὐτοῦ μέτρου καταμετρεῖται, ὡς τὰ Ὁμήρου καὶ τὰ τῶν ἐποποιῶν ἔπη· καταχρηστικῶς δὲ κἂν ὑπὸ κώλου ἢ κόμματος, ὡς τὸ Καλλιμάχειον τοῦτο ποιημάτιον,

ἡ παῖς ἡ κατάκλειστος,
τὴν οἱ φασὶ τεκόντες.

1 τοῦτο τὸ καλούμενον M 3 παρὰ τάξιν] παρατάξεις N 5 ἡμᾶς] ὑμᾶς Meineke ἀπεπεμπ' C 14 ΠΕΡΙ ΠΟΙΗΜΑΤΟΣ] cf. cap. 16, 7 „περὶ ποιήματος ἑξῆς ῥητέον". Τοῦ αὐτοῦ μετρικῆς εἰσαγωγῆς (εἰσαγωγὴ lib.) περὶ ποιήματος S, Ἡφαιστίωνος μετρικῆς εἰσαγωγῆς περὶ ποιήματος PM, Ἡφ. περὶ μετρ. εἰσαγ. ἢ περὶ ποιήματος Tu, περὶ ποιημάτων Fl 19 τὰ τῶν ἐποποιῶν] τὰ om. CSM, τῶν om. Fl 20 κατα-

καταμετρεῖται γὰρ ὑπὸ κόμματος ἀντισπαστικοῦ, καλουμένου Φερεκρατείου.

Συστηματικὰ δέ, ὅσα ὑπὸ πλειόνων μέτρων εἰς ἓν σῶμα παραληφθέντων καταμετρεῖται ἢ συμπληροῦται.

Μικτὰ δέ, ὅσα μέρος μέν τι ἔχει ὑπὸ στίχου καταμετρούμενον, μέρος δὲ συστηματικόν. 113

Κοινὰ δέ, ὅσα ὑπὸ συστήματος μὲν καταμετρεῖται, αὐτὸ δὲ τὸ σύστημα (ἐκ τῶν αὐτῶν μέτρων) ἔχει πληρούμενον, οἷά ἐστι τὰ ἐν τῷ δευτέρῳ καὶ τρίτῳ Σαπφοῦς, ἐν οἷς καταμετρεῖται μὲν ὑπὸ διστιχίας, αὐτὴ δὲ ἡ διστιχία ὁμοία ἐστί.

(Τῶν δὲ συστηματικῶν ἐστι) τὰ μὲν κατὰ σχέσιν, τὰ δὲ ἀπολελυμένα, τὰ δὲ ἐξ ὁμοίων, τὰ δὲ μετρικὰ ἄτακτα, τὰ δὲ μικτά, τὰ δὲ κοινά.

Κατὰ σχέσιν μέν ἐστι, ὅσα μετρεῖται ὑπὸ (τοῦ αὐτοῦ) συστήματος. Καλεῖται δὲ οὕτως διὰ τὸ ἔχειν τινὰ πρὸς ἄλληλα σχέσιν τὰ ἐν τῷ ποιήματι συστήματα ἐν τῷ καταμετρεῖσθαι.

('Απολελυμένα . . . . . .)

Ἐξ ὁμοίων δέ, ὅσα ἐκ τοῦ αὐτοῦ ποδός ἐστιν, ἢ τῆς αὐτῆς συζυγίας, ἢ τῆς αὐτῆς περιόδου ἀρχικῆς, οὔτε ὑπὸ στίχου οὔτε ὑπὸ συστήματος καταμετρούμενα.

χρηστικῶς δὲ om. Fl... 4 παραληφθέντων C, παραλειφθέντων M, παραλειφθέντα M2TuFl... 6 μέντοι ἔχη ὑπὸ στίχον Fl 9 (ἐκ τῶν αὐτῶν μέτρων) adiecimus. τὸ συστηματικὸν ἐστὶ Fl... 11 διστοιχίας et 12 διστοιχία CSM 12 ὁμοία ἐστί] fortasse: ὁμοίων στίχων 13 (Τῶν δὲ συστηματικῶν ἐστι) om.libb. τὰ μὲν C, om.rell. 14 τὰ δὲ ἀπολ.] ἃ δ. ἀ. M 16 τοῦ αὐτοῦ om. libb. 17 διὰ τὸ ἔχειν] ἐν τῷ ἔχειν S 18 σχέσιν om. S ἐν τῷ om. C 20 Indicavimus lacunam ('Απολελυμένα . . . .) 21 ἐκ τοῦ αὐτοῦ ποδός] ἐκ om C 22 ἢ τῆς αὐτῆς συζυγίας om. NFl ἀρχικῆς] ἀρχῆς MTu

Μετρικὰ δὲ ἄτακτα, ὅσα ἐκ μέτρων μὲν ὁμολογουμένων συνέστηκε, τάξιν δὲ καὶ ἀνακύκλησιν οὐκ ἔχει, οὔτε κατὰ στίχον, οὔτε κατὰ συστήματα, οἷός ἐστιν ὁ Μαργίτης ὁ εἰς Ὅμηρον ἀναφερόμενος, ἐν 116
5 *ᾧ παρέσπαρται τοῖς ἔπεσιν ἰαμβικά, καὶ ταῦτα οὐ κατ' ἴσον σύστημα. Τοιοῦτόν ἐστι καὶ τὸ Σιμωνίδειον ἐπίγραμμα,*

Ἴσθμια δίς, Νεμέᾳ δίς, Ὀλυμπίᾳ ἐστεφανώθην,
οὐ πλάτεϊ νικῶν σώματος, ἀλλὰ τέχνᾳ,
10 *Ἀριστόδαμος Θράσιδος Ἀλεῖος πάλᾳ.*

Μικτὰ δέ, ὅσα μέρος μέν τι ἔχει κατὰ σχέσιν, μέρος δέ τι ἀπολελυμένον ἢ ἐξ ὁμοίων.

Κοινὰ δέ, ὅσα καθ' ἑτέραν μὲν ἰδέαν γέγραπται τοῦ συστήματος, δύναται δὲ καὶ καθ' ἑτέραν γεγράφθαι δοκεῖν· οἷον, φέρ' εἰπεῖν, ἐξ ὁμοίων ὄντα κατὰ
15 *σχέσιν δοκεῖν γεγράφθαι. Τοσαῦτα μὲν δὴ ταῦτα.*

Πάλιν δὲ ἕκαστον τῶν προειρημένων ὑποδιαιρετέον. Τῶν γὰρ κατὰ σχέσιν τὰ μέν ἐστι μουοστροφικά, τὰ δὲ ἐπῳδικά, τὰ δὲ κατὰ περικοπὴν
20 *ἀνομοιομερῆ, τὰ δὲ ἀντιθετικά, τὰ δὲ μικτὰ κατα σχέσιν, τὰ δὲ κοινὰ κατὰ σχέσιν.*

Τὰ μὲν οὖν μονοστροφικά ἐστιν, ὁπόσα ὑπο μιᾶς στροφῆς καταμετρεῖται.

Τὰ δὲ (ἐπῳδικά ἐστιν ἐν οἷς συστήμασιν ὁμοί-
25 *οις ἀνόμοιόν τι προστέτακται. Ἐὰν μὲν οὖν τὸ ἀν-*

1 *ἐκ μέτρων*] *καὶ μέτρων* M *ὁμολογούμενα συνέστη* BFl, *ὁμολογουμένων συνέστηκε* CTu 3 *οὔτε κατὰ συστήματα*] *οὔτε συστηματικὰ* CMN, *οὐδὲ συστηματικὰ* S 4 *ὁ Μαργίτης*] ὁ om. C 8 *Νεμέα Ὀλυμπια* (om. *καὶ*) ... *Ἀριστοδάμας θρασὺς ἅλιος πάλαι* CMSFl 13 *ἰδίαν* SM 14 *συστήματος*] *σώματος* BFl *καὶ* om. BFl *ἕτερον* CSM 17 *ἕκαστα* CSMTu 19 *περικοπὴν* CM, *παρακοπὴν* Fl... 21 *τὰ δὲ κοινὰ κατὰ σχέσιν* om. BFl 22 *μονόστροφά εἰσιν ὅσα* BFl, *μονόστροφα* S 24 *ἐπῳδικὰ* — p. 62, 2 *γένει* om. libb.

ὁμοιον τεταγμένον ἔχῃ ἐν τῇ τελευταίᾳ χώρᾳ, ὁμωνύμως τῷ γένει) ἐπῳδικὰ καλεῖται, ἐὰν δὲ ἐν τῇ πρώτῃ, προῳδικά, ἐὰν δὲ ἐν μέσῳ, μεσῳδικά. Ταῦτα μὲν οὖν καὶ ἐν τριάσιν ὁρᾶται· ἐὰν δὲ 117
ὑπερεξαγάγῃ τὴν τριάδα, γίνονται· καὶ ἄλλαι ἰδέαι δύο. ἤτοι γὰρ περιῳδικά ἐστιν, ὅταν αἱ μὲν ἑκατέρωθεν (μελοποιίαι) ἀνόμοιαι ὦσιν, (αἱ δὲ ἐν μέσῳ) ἀλλήλαις μὲν ὅμοιαι, ταῖς δὲ περιεχούσαις ἀνόμοιαι· ἢ παλινῳδικά, ὅταν αἱ ἑκατέρωθεν ἀλλήλαις μελοποιίαι ὅμοιαι ὦσιν, καὶ αἱ ἐν μέσῳ ταῖς μὲν περιεχούσαις ἀνόμοιαι (ἀλλήλαις δὲ ὅμοιαι).

Τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομερῆ τὰς περικοπὰς ὁμοίας ἀλλήλαις ἔχει, τὰς δὲ ἐν ταῖς περικοπαῖς περιόδους ἀνομοίους· καλεῖται δὲ τὰ μὲν δυαδικά, ὅσα δύο τὰς ἐν τῇ περικοπῇ περιόδους ἔχει, τὰ δὲ τριαδικά, ὅσα τρεῖς, τὰ δὲ τετραδικά, ὅσα τέσσαρας· καὶ ἐπὶ τῶν ἑξῆς κατὰ τὸν αὐτὸν λόγον.

Ἀντιθετικὰ δέ, ὅσα κατὰ σχέσιν μὲν γέγραπται, οὐ μέντοι κατὰ τὴν αὐτὴν τάξιν παραβάλλεται ἀλλήλοις τὰ ἀντιστρέφοντα· ἀλλὰ τὸ πρῶτον ἀπὸ τοῦ τέλους τῷ πρώτῳ παραβάλλεται τῷ ἀπὸ τῆς ἀρχῆς· καὶ τὸ δεύτερον ἀπὸ τέλους τῷ δευτέρῳ τῷ

3 *προῳδικὰ*] *περιῳδικὰ* M *ἐν μέσῳ ᾠδικὰ* SMBFl, *ἐν μέσῃ μεσωδικά* Tu 5 *ὑπερεξαγάγῃ* C, *ὑπὲρ ἐξ ἐπάγῃ* MTu, *ὑπὲρ ἐξ ἀπάγῃ* SFl 6 *ὅταν αἱ μὲν* Tu, *ὅτε εἱ μὲν* FlM2, *δ' ὅτ' εἱμεν* S, *δότει μὲν* M 7 *μελοποιίαι* om. libb. cf. infra. Portasse *μετροποιίαι* legendum. *αἱ δὲ ἐν μέσῳ* om. libb., *καὶ αἱ ἐν μέσῳ* Raperus. 9 *ἢ παλινῳδικὰ* — 10 *ὅμοιαι ὦσιν* om. C 10 *καὶ αἱ ἐν μέσῳ* — 11 *ἀνόμοιαι* om. BFl 10 *ταῖς μὲν περιεχούσαις* M, *μὲν* om. TuFl 11 (*ἀλλήλαις δὲ ὅμοιαι*) om. libb. 12 *ταῖς δὲ κατὰ* M 16 *ὅσα τρία* SMFl 17 *τέσσαρα* SMFl 18 *σχέσιν* Meibom, *θέσιν* libb. 19 *τὴν αὐτὴν πρᾶξιν* C *παραβάλλονται* Fl *ἀλλήλαις* M 20 *ἀλλὰ* om. CM *ἀπὸ τοῦ τέλους* om. CM 21 *παραβάλλεσθαι* CM2Fl *τῷ ἀπὸ τῆς ἀρχῆς* om. CM

ἀπ' ἀρχῆς· τὸ δὲ τρίτον ἀπὸ τέλους τῷ τρίτῳ· καὶ ἐπὶ τῶν λοιπῶν οὕτω. Ταύτης δὲ τῆς ἰδέας ἐστὶ τὸ Ὧον τὸ Σιμμίου καὶ ἄλλα παίγνια.

Μικτὰ δὲ κατὰ σχέσιν εἰσίν, ὅσα ἐκ μερῶν ἐστιν, ἐκ πάντων μὲν κατὰ σχέσιν, (ἀν)ομοίων δὲ 118 *ἀλλήλοις κατὰ τὴν ἰδέαν, ἔκ τε ἐπῳδικῶν καὶ μονοστροφικῶν, ἢ κατὰ περικοπὴν (ἀνομοιομερῶν).*

Κοινὰ δέ ἐστι κατὰ σχέσιν, ὅσα καθ' ἑτέραν μὲν ἰδέαν τῶν κατὰ σχέσιν γέγραπται, δύναται δὲ καὶ καθ' ἑτέραν γεγράφθαι δοκεῖν, οἷον, εἰ μονοστροφικῶς γραφὲν δύναται τοῦτο καὶ ἐπῳδικῶς γεγράφθαι δοκεῖν.

* * * * * * * * * *

3 *τὸ* om. SM 4 *μερῶν*] *μέτρων* libb. 5 *ἀνομοίων*] *ὁμοίως* libb. 7 *ἀνομοιομερῶν* om. libb. 9 *ἰδεῶν* MTu 10 *καθ' ἕτερον* M

ΤΟΥ ΑΥΤΟΥ
ΠΕΡΙ ΠΟΙΗΜΑΤΟΣ.[1]

(*Κεφ. α′.*)

* * * * * * * * * *

Στίχος ἐστὶ ποσὸν μέγεθος μέτρου, ὅπερ οὔτε ἔλαττόν ἐστι τριῶν συζυγιῶν, οὔτε μεῖζον τεσσάρων. Τὸ δὲ ἔλαττον ὂν τριῶν συζυγιῶν, ἐὰν μὲν πλήρεις ἔχῃ τὰς συζυγίας, ἀκατάληκτόν ἐστι, καὶ καλεῖται κῶλον, ἐὰν δέ τι ἐλλείπῃ, κόμμα.

Σύστημα δέ ἐστι μέτρων συναγωγή, ἤτοι δύο ἢ πλειόνων, ἢ ὁμοίων ἢ ἀνομοίων· ἀνομοίων[2] *μέν, ὡς τὰ ἐλεγεῖα*[3] *[ἑξαμέτρου γάρ ἐστι πρὸς πεντάμετρον κοινωνία·] καὶ οἱ ἐπῳδοί· τὸ δὲ ἐξ ὁμοίων, ὡς τὸ δεύτερον Σαπφοῦς, ὡς προϊόντες δείξομεν.* 119

Ὄντων δὴ τούτων τῶν ἀνωτάτω γενῶν, κατὰ τὴν τούτων μῖξιν ὑφίστανται τά τε μικτὰ γενικὰ προσαγορευόμενα, καὶ τὰ κοινὰ γενικά. 120

Καὶ μικτὰ μὲν γενικά, ὡς αἱ τραγῳδίαι[4]

---

1 *Τοῦ αὐτοῦ περὶ ποιημάτων* S, *τοῦ αὐτοῦ Ἡφαιστίωνος σαφεστέρα διδασκαλία [περὶ] μετρικῆς εἰσαγωγῆς [ἢ] περὶ ποιήματος* MTu 4 Initio lacunam indicavimus. 6 *οὔτε μεῖζον τεσσάρων* om. BFl 7 *τριῶν*] *δύο* CSMTu 9 *δέ τι ἐλλείπῃ*] *τι* om. M 12 *ἑξαμέτρου γάρ ἐστι πρὸς πεντάμετρον κοινωνία* libb., *κοινωνικὰ* C] scholion quod in textum irrepsit. 13 *καὶ οἱ ἐπῳδοί* om. C 15 *Ὄντων δή*] *Ὁ. δὲ* Fl 17 *κοινὰ γενικά*] *κοινὰ συστηματικὰ* libb.Tzetz.Gaisf.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

δὲ τρίμετρα εὑρίσκεται· τὰ δὲ ἄμικτα, ὡς αἱ Ὁμήρου ῥαψῳδίαι.

(Κεφ. γ'. Περὶ τῶν κατὰ συστήματα.)

Τῶν δὲ κατὰ συστήματα[10] γεγραμμένων τὰ μέν ἐστι κατὰ σχέσιν, τὰ δὲ ἀπολελυμένα, τὰ δὲ μερικὰ ἄτακτα, τὰ δὲ ἐξ ὁμοίων, τὰ δὲ μικτὰ συστηματικά, τὰ δὲ κοινὰ συστηματικά[11], περὶ ὧν ἐροῦμεν.

Κατὰ σχέσιν μὲν οὖν ἐστί, ἃ δουλεύοντα ἀνταποδόσει καὶ ἀνακυκλήσει ὁ ποιητὴς γράφει. 122

Ἀπολελυμένα δέ, ἃ εἰκῇ γέγραπται[12] καὶ ἄνευ μέτρου ὡρισμένου, οἷόν εἰσιν οἱ νόμοι οἱ κιθαρῳδικοὶ Τιμοθέου.

Μετρικὰ δὲ ἄτακτά ἐστιν, ἅπερ μέτρῳ μὲν γέγραπταί τινι, οὔτε δὲ ὁμοιότητα ἔχει πρὸς ἄλληλα[13] οὔτε ἀνακύκλησιν[14], οἷόν ἐστι τὸ τοῦ Σιμωνίδου ἐπίγραμμα

Ἴσθμια δίς, Νεμέᾳ δίς, Ὀλυμπίᾳ ἐστεφανώθην,
οὐ πλάτεϊ νικῶν σώματος, ἀλλὰ τέχνᾳ,
Ἀριστόδαμος Θράσιδος Ἀλεῖος πάλᾳ.

Τοιοῦτός ἐστι καὶ ὁ Μαργίτης Ὁμήρου· οὐ γὰρ τεταγμένῳ ἀριθμῷ ἐπῶν[15] τὸ ἰαμβικὸν ἐπιφέρεται. 123

Ἐξ ὁμοίων[16] δέ ἐστιν, ἅπερ ὑπὸ (τοῦ αὐτοῦ) ποδὸς ἢ (τῆς αὐτῆς) συζυγίας ἢ περιόδου[17] καταμετρεῖται ἄνευ ἀριθμοῦ τινὸς ὡρισμένου· ὡς ἐὰν τεταγμένος ἀριθμὸς ᾖ, οὐκ ἔστιν ἐξ ὁμοίων, ἀλλὰ

1 εὑρίσκεται] ποιεῖται M 4 συστήματα] σύστημα M 8 δουλεύοντα ἀνταποδόσει] δουλεύοντ' ἀποδώσει BFl, δουλεύων ἀνταποδώσει CSMTu 10 ἃ om. Fl 11 οἷοι Fl 15 τὸ τοῦ Σιμωνίδου] τοῦ om. MFl 17 Νέμεα Tu, νεμέα Fl ἐστεφανώθη M 19 Ἀριστόδημος θρασὺς ἀλεῖος πάλᾳ libb., ἅλιος M corr. Scalig. 20 μαργαρίτης Ὁμήρου M τεταγμένον ἀριθμὸν M 22 ποδὸς Tzetz.] ποδῶν BFl 25 οὐκ ἔστιν ἐξ] οὐκ ἔξειν ἐξ Fl

κατὰ σχέσιν, ὡς ἐν τῷ παρ' Ἀλκαίῳ ἄσματι, οὗ ἡ ἀρχή

ἐμὲ δειλάν, ἐμὲ πασᾶν κακοτάτων πεδέχοισαν.

Ἄπειρος μὲν γάρ τις ὢν φήσειεν ἂν αὐτὸ ἐξ ὁμοίων εἶναι, ἐξ ἰωνικῆς ἀπ' ἐλάσσονος συζυγίας καταμετρούμενον· ἡμεῖς δέ, ἐπειδὴ κατὰ δέκα ὁρῶμεν αὐτὸ συζυγίας καταμετρούμενον, κατὰ σχέσιν αὐτὸ γεγράφθαι φαμέν. Διόπερ καὶ τὰ μονοστροφικὰ 124
ἄσματα, δέκα ὄντα συζυγιῶν, οὕτω πεποιῆσθαι νομίζομεν. Ἔστι δέ τινα τὰ ἐξ ὁμοίων οὕτω πεποιημένα, οἷον τὰ Ἑρμείου, παιωνικὰ ὄντα,

Ἑπτά μοι δὶς τριάκοντα[18] *βασιλεὺς σχεδόν.*

καὶ τὰ ἑξῆς.

Ὑπολείπεται δὲ ἡμῖν περί τε τῶν μικτῶν συστηματικῶν εἰπεῖν[19] *καὶ τῶν κοινῶν συστηματικῶν. Λέγομεν τοίνυν ὅτι μικτὰ μέν ἐστι συστηματικά, ὥσπερ εἴ τις τὴν πρώτην ᾠδὴν ἐν τῷ πρώτῳ Ἀλκαίου*[20] *καὶ τὴν δευτέραν συνάψειε, συστηματικῆς οὔσης αὐτῶν ἑκατέρας.*

Κοινὰ δέ ἐστι συστηματικὰ τὰ δύο εἴδεσιν ὑποπεπτωκότα, οἷον συμβέβηκεν ἐπὶ τοῦ

ἐμὲ δειλάν, ἐμὲ πασᾶν κακοτάτων πεδέχοισαν.

Ἄπειρος μὲν γάρ τις ὢν τῆς τοῦ ποιητοῦ προθέσεως 125
ἐξ ὁμοίων φήσειεν ἂν εἶναι τὸ ᾆσμα· ὁ δὲ ἔμπειρος κατὰ σχέσιν, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν ἐπεδείξαμεν.

4 *τις ὢν*] *ὤν τις* M *φήσειεν ἂν*] *ἂν* om. SMFl 6 *ἐπειδὴ*] *ἐπεὶ* CSMTu 7 *καταμετρούμενον*] *γεγραμμένον* MTu 10 *οὕτω πεποιημένα*] *οὕτω* om. BFl 12 *Ἑπτά μοι δὶς*] *ἑπτά μυδις* MTu 14 *μικτῶν*] *καταμίκτων* MTu *συστημάτων* M2Fl 21 *ἐπὶ τοῦ*] *ἐπὶ τῶν* Fl 22 *κακοτάτην* sine *πεδέχοισαν* Fl 23 *τις ὢν*] *ὤν τις* M 25 *ὡς καὶ*] *καὶ* om. M

(Κεφ. δ'. Περὶ τῶν κατὰ σχέσιν.)

Τῶν δὲ κατὰ σχέσιν τὰ μέν ἐστι μονοστροφικά, τὰ δὲ ἐπῳδικά, τὰ δὲ κατὰ περικοπὴν ἀνομοιομερῆ, τὰ δὲ ἀντιθετικά, τὰ δὲ μικτὰ κατὰ σχέσιν, τὰ δὲ κοινὰ κατὰ σχέσιν.

Μονοστροφικὰ μὲν οὖν εἰσὶν ὅσα ὑπὸ μιᾶς στροφῆς καταμετρεῖται, καθάπερ τὰ Ἀλκαίου καὶ τὰ Σαπφοῦς καὶ ἔτι τὰ Ἀνακρέοντος.

Ἐπῳδικὰ δέ ἐστιν ἐν οἷς συστήμασιν ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται. Τοῦ δὲ ἐπῳδικοῦ γένους τὰ μέν ἐστιν ὁμωνύμως αὐτῷ καλούμενα ἐπῳδικά, τὰ δὲ προῳδικά, τὰ δὲ μεσῳδικά, τὰ δὲ περιῳδικά, τὰ δὲ παλινῳδικά.

Ἐπῳδικὰ μὲν οὖν ἐστὶν ἐν οἷς συστήμασιν ὁμοίοις ἀνόμοιόν τι ἐπιφέρεται· δηλονότι ἐπ' ἔλαττον μέντοι τοῦ τῶν τριῶν ἀριθμοῦ[22] οὐκ ἂν γένοιτό τι τοιοῦτον, ἐπὶ πλεῖον δὲ οὐδὲν αὐτὸ κωλύει ἐκτείνεσθαι· γίνεται γάρ, ὥσπερ τριὰς ἐπῳδική, οὕτω καὶ τετρὰς καὶ πεντὰς καὶ ἐπὶ πλεῖον, ὡς τά γε πλεῖστα Πινδάρου καὶ Σιμωνίδου πεποίηται.

Προῳδικὰ δέ ἐστιν ἐν οἷς τὸ ἀνόμοιον προτέτακται τῶν ὁμοίων.

Μεσῳδικὰ δέ, ἐν οἷς περιέχει μὲν τὰ ὅμοια, μέσον δὲ τὸ ἀνόμοιον τέτακται.

Παλινῳδικὰ δέ, ἐν οἷς τὰ μὲν περιέχοντα ἀλλήλοις ἐστὶν ὅμοια, ἀνόμοια δὲ τοῖς περιεχομένοις·

5 τὰ δὲ κοινὰ κατὰ σχέσιν om. BFl 6 ὅσα] ὁπόσα CS MTu 9 Ἐπῳδικὰ — 11 καλούμενα ἐπῳδικά om. M 12 τὰ δὲ προῳδικὰ — τὰ δὲ παλινῳδικά C, om. rell. 14 Ἐπῳδικὰ μὲν] Ἐ. δὲ M συστήμασιν MTu, om. rell.Gaisf. 15 δηλονότι libb., εἰκότως schol., om. schol. Eurip. Hecub. 629, Gaisf. 18 γίνεται γάρ] γίνεται δὲ Fl 19 ἐπὶ πλεῖον] ἐπὶ πλέον M, ἐπὶ πλεῖστον C

τὰ δὲ περιεχόμενα ἀλλήλοις μὲν ὅμοιά ἐστιν, ἀνόμοια δὲ τοῖς περιέχουσι.

Περιῳδικὰ[23] δέ, ἐν οἷς τὰ μὲν περιεχόμενα ἀλλήλοις ἐστὶν ὅμοια, τὰ δὲ περιέχοντα οὔτε ἀλλήλοις οὔτε τοῖς περιεχομένοις. 127

Κατὰ περικοπὴν δέ ἐστιν ἀνομοιομερῆ[24], ὁπόταν ἐκθέμενος ὁ ποιητὴς ὁπόσα δήποτε συστήματα διάφορα ἐπαγάγῃ ἐκ τῶν αὐτῶν συστημάτων συνεστῶσαν περικοπήν· ὥστε τὰ μὲν ἐν ἑκατέρᾳ ἢ ἑκάστῃ περικοπῇ συστήματα ἀνόμοια εἶναι ἀλλήλοις, τὰς δὲ περικοπὰς ἀμφοτέρας ἀλλήλαις ὁμοίας ἢ πάσας.

Ἀντιθετικὰ δέ ἐστιν, ὁπόταν ὁ ποιητὴς γράφῃ ὁπόσα δήποτε κῶλα ὡς ἀνόμοια, καὶ ὡς βούλεται, εἶτα τούτων ἀνταποδῷ τῷ μὲν τελευταίῳ τὸ πρῶτον, τῷ δὲ δευτέρῳ ἀπὸ τέλους τὸ δεύτερον, καὶ οὕτω πάντα κατὰ τὸν αὐτὸν λόγον. Τοῦτο δὲ τὸ εἶδος παρὰ μὲν τοῖς παλαιοῖς σπανιώτατόν ἐστι, παρὰ δὲ Σιμμίᾳ τῷ Ῥοδίῳ ἐστὶν οὕτω πεποιημένα ἐν τῷ ἐπιγεγραμμένῳ Ὠῷ. 128

Μικτὸν δέ ἐστι κατὰ σχέσιν ποίημα, ἐν ᾧ ἐστι μέρη τινά[25], ἅπερ ἔφαμεν εἶναι τῶν κατὰ σχέσιν εἴδη, οἷον λόγου χάριν τό τε ἐπῳδικὸν καὶ τὸ μεσῳδικόν.

Κοινὸν δέ ἐστι κατὰ σχέσιν τὸ δύο συστήμασιν ὑποπεπτωκός, καθάπερ τὸ πρῶτον Ἀνακρέοντος ἅσμα

γουνοῦμαί σ', ἐλαφηβόλε,

1 ὅμοιά ἐστιν] ὁμ. εἰσιν M 8 διάφορα om. BFl 13 Ἀντιθετικὰ] ἀναθετικὰ M 15 τοῦτον ἀνταποδῷ Fl 20 ἐπιγεγραμμένῳ MTu, ἐπιγραφομένῳ FlGaisf. 22 τῶν κατὰ σχέσιν schol.] τοῦ κ. σχ. libb. 23 εἴδη CBFl, εἴδους rell. 24 μεσωδιακὸν M

ξανθὴ παῖ Διός, ἀγρίων
δέσποιν' Ἄρτεμι θηρῶν.

καὶ τὰ ἑξῆς[26]. *Κατὰ μὲν γὰρ τὴν νῦν ἔκδοσιν* |
ὀκτάκωλός ἐστιν ἡ στροφή, καὶ τὸ ᾆσμά ἐστι μο- |
νοστροφικόν. Δύναται δὲ καὶ ἑτέρως διαιρεῖσθαι |
εἴς τε τριάδα καὶ πεντάδα ἡ στροφή, ὥστε Φερε- 129 |
κράτειον εἶναι τὸ τελευταῖον τοῦ συστήματος[27] *τοῦ* |
ἐκ τῶν τριῶν κώλων ἢ τῶν πέντε.

(*Κεφ. ε'. Περὶ τῶν ἀπολελυμένων.*)

Δεδειγμένου δὲ ἡμῖν τίνα ἐστὶ τὰ ἀπολελυμένα, |
φαμὲν εἴδη τούτων εἶναι τά τε ἄστροφα καὶ τὰ |
ἀνομοιόστροφα καὶ ἄτμητα.

Ἄστροφα μὲν οὖν ἐστι τὰ τηλικούτου μεγέθους |
ὄντα ἐπ' ἐλάχιστον, ὡς μηδὲ στροφὴν ὅλην εἶναι |
αὐτὰ ὑπονοητικά[28].

Ἀνομοιόστροφα δέ ἐστιν, ὅσα πάντως διαιρεῖται 130
ἢ κατὰ πρόσωπον ἀμοιβαῖον[29], *ἢ χοροῦ πρὸς ὑπο-*
κριτὴν ἀπόκρισιν, ἢ κατὰ ἐφύμνιον[30], *ἢ κατὰ ἐπῳ-*
δόν[31], *ἢ κατ' ἄλλο τι ἀναφώνημα*[32]. *Διαιρεῖται δὲ*
ἤτοι εἰς δύο[33] *ἢ εἰς πλείω. Ἐὰν μὲν οὖν εἰς δύο*
διαιρεθῇ, καλεῖται ἑτερόστροφον[34], *ἐὰν δὲ εἰς πλείω,*
ἀλλοιόστροφον.

Ἄτμητα[35] *δέ ἐστι τὰ τηλικαῦτα ὥστε δύνασθαι*[36]
μὲν τέμνεσθαι, μὴ μέντοι τεκμήριόν τι ὑπάρχειν
τοῦ τὸν ποιητὴν αὐτὰ τετμηκέναι, μήτε βραχυκα-
τάληξιν[37] *μήτε τι ἕτερον τῶν διοριζόντων τὰ ποι-*
ήματα, οἷον ἐφύμνιον ἢ ἀναφώνημα.

3 *καὶ τὰ ἑξῆς* om. Fl *ἔνδοσιν* Fl 8 *τριῶν κώλου* C 14 *στροφὴν ὅλην*] *στροφῆς ὅλης* libb. 18 *κατὰ ἐπῳδὴν* M 19 *ἀναφώνημα* CSBFl, *ἐπιφώνημα* Tu 25 *τετμηκέναι* om. Fl *βραχυκαταληξίαν* libb. 26 *μήτε τι*] *τι* om. M *διοριζόντων*] *ὁριζόντων* C

(*Κεφ. ς΄. Περὶ τῶν ἐξ ὁμοίων.*) 131

Τῶν δὲ ἐξ ὁμοίων τὰ μέν ἐστιν ἀπεριόριστα, τὰ δὲ κατὰ περιορισμοὺς ἀνίσους.

Ἀπεριόριστα μέν, ὁπόσα ὑπὸ τοῦ αὐτοῦ ποδὸς ἢ τῆς αὐτῆς συζυγίας καταμετρούμενα ἢ περιόδου περιγραφὴν οὐδεμίαν ἔχει μεταξύ, ἀλλὰ μέχρι τῆς τελευταίας ὅμοιά ἐστι.

Κατὰ περιορισμοὺς δὲ ἀνίσους[39] *ἐστὶν ὁπόσα ἐξ ὁμοίων συνεστῶτα ἔχει κατάληξιν*[40] *ἢ βραχυκατάληξιν μεταξύ, οὐ μέντοι ἴσοις μεγέθεσι*[41] *ταύτην ἐπιξευγνυμένην ἀεί, οἷα μάλιστα φιλεῖ γενέσθαι ἐν ταῖς παρόδοις*[42] *τῶν χορῶν. Ἐκεῖ γὰρ μετὰ δέκα* 132 *ἀναπαιστικά, λόγου χάριν, καὶ κατάληξιν, ἐπάγουσιν εὐθὺς ὅμοια μὲν καὶ ἀναπαιστικά, οὐ μέντοι τῶν ἴσων συζυγιῶν*[43].

(*Κεφ. ζ΄. Περὶ ἐπῳδῶν, προῳδῶν, μεσῳδῶν.*) 133

Εἰσὶ δὲ ἐν τοῖς ποιήμασι καὶ οἱ ἀρρενικῶς οὕτω καλούμενοι ἐπῳδοί, ὅταν μεγάλῳ στίχῳ περιττόν τι ἐπιφέρηται, οἷον

Πάτερ Λυκάμβα, ποῖον ἐφράσω τόδε;
τίς σὰς παρήειρε φρένας;

καὶ ἔτι,

Εὖτε πρὸς ἄεθλα δῆμος ἠθροΐζετο,
ἐν δὲ Βατουσιάδης.

Ὅταν δὲ ἔμπαλιν ἡ τάξις ᾖ, προῳδὸς[48] *καλεῖται, ὡς παρ' Ἀνακρέοντι*

4 ὁπόσα ὑπὸ] ὁπ. ἀπὸ M 9 βραχυκατάληξιν M, -ληξίαν rell. 10 οὐ μέντοι] οὐ μὴν M2 11 οἷον μάλιστα M 12 παρῴδοις Tu 13 λόγου χάριν — 14 ἀναπαιστικά om. Fl 14 μὲν καὶ ἀναπαιστικὰ οὐ om. C οὐ μέντοι] οὐ μὴν Fl 17 Εἰσὶ δὲ οἱ M 21 παρήειρε] παρέπειρε C, περίηρε BFl 23 Εὖτε Bentl.] εὔ τι CPSM, εὔ τοι TuFl

ἀρθεὶς δ᾽ ηὖτ᾽ ἀπὸ Λευκάδος
πέτρης, ἐς πολιὸν κῦμα κολυμβῶ μεθύων ἔρωτι.

Ὥσπερ δὲ ταῦτα εὑρίσκεται, οὕτω γένοιντ᾽ ἄν τινες καὶ μεσῳδοί, ὅταν περιέχῃ[49] μέν τι(να) μείζω, μεταξὺ δὲ τὸ μεῖον ᾖ τεταγμένον.

(Κεφ. η΄. Περὶ τῶν ἐφυμνίων καὶ ἐπιφθεγματικῶν.) 132

Ἔστι δέ τινα ἐν τοῖς ποιήμασι καὶ τὰ καλούμενα ἐφύμνια[44], ἅπερ ταύτης τῆς προσηγορίας τετύχηκεν, ἐπειδὴ καὶ ἐφύμνιόν τι εἰώθασιν ἐπάγειν οἱ ποιηταὶ ταῖς στροφαῖς, οἷά ἐστι καὶ τὰ τοιαῦτα

Ἰήϊε παιάν.

καὶ

Ὦ διθύραμβε.

Ὅταν δὲ τὸ ἐφύμνιον μὴ μετὰ στροφὴν[45] ἀλλὰ μετὰ στίχον κέηται περιλαμβανόμενον ἄλλῳ στίχῳ, μεσύμνιον καλεῖται τὸ ποίημα, οἷόν ἐστι τὸ παρὰ Σαπφοῖ

ὔψι δὴ τὸ μέλαθρον ἀέρρετε τέκτονες ἄνδρες,
Ὑμήναον,
γαμβρὸς ἔρχεται ἶσος Ἄρηϊ.

Ἔστι δέ τινα καὶ τὰ καλούμενα ἐπιφθεγματικά, 134

4 τινες CMTu, om. rell. μέν τι μείζω CPS, μέντοι μεῖζον Fl, μέν τι μεῖζον TuGaisf. Lege μέν τινα μείζω. 6—21, quae in libris leguntur post v. 15 pag. 71, transposuimus. 10 ἐπειδὴ καὶ] καὶ om. S ἐφύμνιόν τι] τι om. C 16 περιλαμβανόμενον C, παραλαμβανόμενον rell. 19 ὔψι δὴ Ursinus] ὔψοι δὲ Fl, ὑψοῖ δὴ M, ὔψοι δὴ CPS μέλαθρον ὑμήναον libb. Dele ὑμήναον, nam mesymnium est in medio duorum versuum, non in medio duorum eiusdem versus membrorum „ὅταν τὸ ἐφύμνιον μὴ μετὰ στροφὴν ἀλλὰ μετὰ στίχον κέηται περιλαμβανόμενον ἄλλῳ στίχῳ, μεσύμνιον καλεῖται“. ἀείρετε C, ἀείρατε MTuFl, ἀείρηται P, ἀέρρετε Bentl. 20 Ὑμήναον libb.] Portasse anapaesticum ὑμέναι᾽ ὦ pro dispondeo. 21 Ἄρεϊ M

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



εἰσελθόντες εἰς τὸ θέατρον καὶ ἀντιπρόσωποι ἀλλήλοις στάντες οἱ χορευταὶ παρέβαινον, καὶ εἰς τὸ θέατρον ἀποβλέποντες ἔλεγόν τινα.

Τὰ δὲ μέρη τῆς παραβάσεώς ἐστι ταῦτα· κομμάτιον, ὃ καὶ παρὰ τοῖς παλαιοῖς ποιηταῖς οὕτως ὠνομάσθη· φησὶ γὰρ Εὔπολις

Εἰωθὸς τὸ κομμάτιον τοῦτο·

δεύτερον δὲ ἡ ὁμωνύμως τῷ γένει καλουμένη παράβασις· καὶ τρίτον τὸ μακρὸν προσαγορευόμενον, ὃ καὶ φαμὲν εἶναι ἐπιμηκέστερον· οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ ἀπνευστὶ λέγεσθαι ἐδόκει εἶναι μακρότερον.

Ταῦτα μὲν οὖν ἐστιν ἀπολελυμένα. Ἕτερα δέ 136
ἐστι τὰ κατὰ σχέσιν γεγραμμένα, τό τε μέλος καὶ τὸ ἐπίρρημα, ὅπερ ὡς ἐπὶ τὸ πλεῖστον ἑνκαίδεκα ἦν στίχων, καὶ τὸ τῷ μέλει ἀντίστροφον· καὶ τὸ καλούμενον ἀντεπίρρημα, ὅπερ ἦν τῶν ἴσων κώλων τῷ ἐπιρρήματι.

(Κεφ. ι΄. Περὶ σημείων.)

Τὰ σημεῖα[52] τὰ παρὰ τοῖς ποιηταῖς ἄλλως παρ' ἄλλοις κεῖται· λέγω δέ, ὁποῖά ἐστιν ἥ τε παράγραφος —, καὶ ἡ κορωνὶς ⌋, καὶ ἡ ἔξω νενευκυῖα 137
διπλῆ <, καὶ ἡ ἔσω >, καὶ ὁ ἀστερίσκος ⁂, καὶ εἴ τι ἄλλο τοιοῦτον.

Παρὰ μὲν οὖν τοῖς λυρικοῖς, ἂν μὲν μονόστροφον τὸ ᾆσμα ᾖ, καθ' ἑκάστην τίθεται στροφὴν ἡ παράγραφος, εἶτα ἐπὶ τέλους τοῦ ᾄσματος ἡ κορωνίς.

1 *αὐτοπρόσωποι* M 4 *μέρη* BFl, *εἴδη* CTu *ἐστι*] *εἰσι* M 5 *οὕτως* om. CSMTu 6 *ὠνομάσθη* CSMTu, *ὠνομάζετο* Fl *ὁ Εὔπολις* SM 7 *Εἰωθὼς* C 8 *δεύτερον δὲ εἶδός ἐστιν* Tu *γένει* CTu, *ὅλῳ* Fl 10 *ἐπιμηκέστερον*] *ἐπεικέστερον* CM2BFl 15 *τὸ τῷ μέλει*] *τὸ* om. M 19 *σημεῖα τὰ*] *τὰ* om. Fl *ἄλλως παρ' ἄλλοις*] *ἄλλοις ἄλλως* Fl 24 *Παρὰ μὲν οὖν*] *οὖν* om. CM

Ἐὰν δὲ κατὰ περικοπὴν τὰ ἄσματα ᾖ γεγραμμένα, ὥστε εἶναι στροφὴν καὶ ἀντίστροφον καὶ ἐπῳδόν, ἡ παράγραφος μὲν ἐπὶ τῷ τέλει τῆς τε στροφῆς καὶ ἀντιστρόφου κεῖται, ἐπὶ δὲ τῇ ἐπῳδῷ ἡ κορωνίς· καὶ οὕτως ἡ παράγραφος, ἣ διορίζει τά τε ὅμοια καὶ τὰ ἀνόμοια. Ἐπὶ μέντοι τῷ τέλει τίθεται ὁ ἀστερίσκος, γνώρισμα τοῦ τετελέσθαι τὸ ᾆσμα, ἐπεὶ ἡ κορωνὶς ἐπὶ πασῶν τίθεται τῶν ἐπῳδῶν. Καὶ μάλιστα εἴωθεν ὁ ἀστερίσκος τίθεσθαι, 138
ἐὰν ἑτερόμετρον ᾖ τὸ ᾆσμα τὸ ἑξῆς· ὃ καὶ μᾶλλον ἐπὶ τῶν ποιημάτων τῶν μονοστροφικῶν γίνεται Σαπφοῦς τε καὶ Ἀνακρέοντος καὶ Ἀλκαίου· ἐπὶ δὲ τῶν Ἀλκαίου ἰδίως, κατὰ μὲν τὴν Ἀριστοφάνειον ἔκδοσιν, ὁ ἀστερίσκος ἐπὶ ἑτερομετρίας ἐτίθετο μόνης· κατὰ δὲ τὴν νῦν τὴν Ἀριστάρχειον, καὶ ἐπὶ ποιημάτων μεταβολῆς.

Ἡ δὲ διπλῆ, ἡ ἔξω βλέπουσα, παρὰ μὲν τοῖς κωμικοῖς καὶ τοῖς τραγικοῖς ἐστι πολλή· παρὰ δὲ τοῖς λυρικοῖς σπανία. παρ' Ἀλκμᾶνι γοῦν εὑρίσκεται· ἔγραψε γὰρ ἐκεῖνος δεκατεσσάρων στροφῶν ᾄσματα, ὧν τὸ μὲν ἥμισυ τοῦ αὐτοῦ μέτρου ἐποίησεν ἑπτάστροφον, τὸ δὲ ἥμισυ ἑτέρου· καὶ διὰ τοῦτο ἐπὶ ταῖς ἑπτὰ στροφαῖς ταῖς ἑτέραις τίθεται ἡ διπλῆ σημαίνουσα τὸ μεταβολικῶς τὸ ᾆσμα γεγράφθαι.

2 *ἀντίστροφον* SM, *ἀντιστροφήν* FlGaisf. 3 *ἐπὶ τῷ τέλει*] *ἐπὶ τὶ τέλους* Fl *τῆς τε στροφῆς* SM, *τῆς στροφῆς* Fl Gaisf. 4 *ἀντιστροφῆς* Fl *τῇ ἐπῳδῷ*] *τῷ ἐ.* C, *τῇ ἐπῳδῇ* M 7 *τετελέσθαι* C, *τετελειῶσθαι* MTu, *τετέλεστου* Fl 13 *τῶν Ἀλκαίου* C, *τοῦ Ἀ.* rell. 14 *ὁ ἀστερίσκος ἐπὶ* M, *ὁ* om. rell.Gaisf. *ἐτίθετο μόνος* Fl 15 *νῦν τὴν* om. M 16 *μεταβολῇ* M 17 *Ἡ δὲ διπλῆ* CMTu, *Καὶ ἡ μὲν διπλῆ* FlGaisf. 18 *τοῖς τραγικοῖς ἐστι*] *τραγικοῖς* M 19 *καὶ παρὰ Ἀλκμ.* M 20 *ἔγραψε*] *γράψας* CM 24 *ἡ διπλῆ σημαίνουσα* MTu, *ἡ δ.*

Τούτοις τοῖς σημείοις τοῖς προειρημένοις, πλὴν τοῦ ἀστερίσκου, καὶ ἑτέροις τισὶ περὶ ὧν λέξομεν, ἐν τοῖς δράμασι χρώμεθα. Τῇ μὲν οὖν κορωνίδι κατὰ τρόπους τρεῖς· ἤτοι ὅταν τῶν ὑποκριτῶν εἰπόντων τινὰ καὶ ἀπαλλαγέντων καταλείπηται ὁ χορός, ἢ ἔμπαλιν· ἢ ὅταν μετάβασις ἀπὸ τόπου εἰς τόπον γίνεσθαι δοκῇ τῆς σκηνῆς. Τῇ δὲ παραγράφῳ, ἤτοι κατὰ πρόσωπα ἀμοιβαῖα, ἔν τε τοῖς ἰαμβικοῖς καὶ τοῖς χορικοῖς, μεταξὺ τῆς τε στροφῆς 139
καὶ τῆς ἀντιστρόφου. Ἐὰν μέντοι ἡ στροφὴ ἐξ ἀμοιβαίων τυγχάνῃ συγκειμένη, οὐκ ἐξαρκεῖ πρὸς τὸ δηλῶσαι ὅτι πεπλήρωται ἡ στροφὴ ἡ παράγραφος, ἐπιφερομένης ἄλλης στροφῆς· ἐπεὶ καὶ ἐφ' ἑκάστου κώλου οὐδὲν ἧττον τίθεται· ἀλλὰ κεῖται καὶ ἡ ἔσω νενευκυῖα διπλῆ, τοῦτο δέ, ἐὰν ἀντίστροφος ἐπιφέρηται, ὡς ἐάν γε μεταβολὴ μόνον ᾖ στροφῶν ἡ ἔξω βλέπουσα τίθεται.

Εἰπόντων δὲ ἡμῶν ὅτι ἐστί τινα κατὰ περιορισμοὺς ἀνίσους ἀναπαιστικὰ γεγραμμένα, ἃ δὴ ἐν παρόδῳ ὁ χορὸς λέγει, ἐφ' ἑκάστου περιορισμοῦ τίθεται ἡ παράγραφος.

Τῆς δὲ παραβάσεως μερῶν ὄντων ἑπτά, ἐπὶ ἓν ἕκαστον τῶν ἀπολελυμένων τριῶν τίθεται ἡ παράγραφος, τοῦ κομματίου καὶ τῆς παραβάσεως καὶ τοῦ μακροῦ· οὐδὲν ἧττον δὲ καὶ ἐπὶ τοῦ μέλους καὶ τοῦ ἐπιρρήματος, ἂν μηδὲν ἀνταποδιδῶται. Ἐὰν δὲ ἐνῇ

σημαινουσα C, *ἡ δὲ διπλῆ σημαίνει* FlGaisf. 5 *καταλείπεται* Tu, *καταλίπηται* C 10 *τῆς ἀντιστρόφου*] τῆς om. M, *τ. ἀντιστροφῆς* BFl *στροφὴ*] *γρ. ἀναστροφὴ* M 11 *πρὸς τὸ δηλῶσαι*] *προσδηλῶσαι* C 12 *ἡ στροφὴ*] *ἡ γραφὴ* C *παράγραπτος* M 16 *μόνον*] *μόνων* C *ᾖ στροφῶν*] *ᾖ στροφῆς* MTu 18 *ἔσται* M 19 *ἃ δὴ καὶ* M 23 *τῶν τριῶν τίθεται* Fl 26 *Ἐὰν δὲ ἔνι* C, *εἰ δὲ εἴη* Fl

τὰ ἀνακυκλούμενα, τό τε ἀντίστροφον τοῦ μέλους καὶ τὸ ἀντεπίρρημα, ἐπὶ τοῦ ἐπιρρήματος τίθεται ἡ ἔσω νενευκυῖα διπλῆ, ὑπὲρ τοῦ δηλῶσαι ὅτι ἐστὶ τὰ ἀνταποδιδόμενα, ἐπὶ δὲ τοῦ ἀντεπιρρήματος ἡ ἔξω νενευκυῖα.

Εἰώθασι τοίνυν αὐτοὶ οἱ δραματοποιοὶ μεταξὺ ἰαμβείων τινῶν γράφειν ἑτέρῳ μέτρῳ ὁποσασοῦν στροφάς· εἶτα πάλιν περάναντες δι' ἰαμβείων τὸ προκείμενον κατὰ διέχειαν ἀνταποδιδόναι τὰς στροφάς. Ἐφ' ἑκάστης οὖν στροφῆς τίθεται παράγραφος· ἐν δὲ ταῖς προτέραις στροφαῖς ἐπὶ τοῦ τελευταίου κώλου δύο τίθενται διπλαῖ, ἡ μὲν κατ' ἀρχὰς ἔξω βλέπουσα, ἡ δὲ κατὰ τὸ τέλος ἔσω νενευκυῖα· δηλούντων ἡμῶν διὰ τῆς ἔσω βλεπούσης ὅτι ἀνταποδίδοταί τινα αὐτοῖς· ἐν δὲ τοῖς ἀνταποδιδομένοις, πάλιν ἐφ' ἑκάστης στροφῆς παράγραφος· ἐπὶ δὲ τοῦ τελευταίου κώλου δύο διπλαῖ, ἡ μὲν κατ' ἀρχάς, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι μέντοι ἔξω νενευκυῖαι, διὰ τούτων δηλούντων ἡμῶν ὅτι ἀνταποδίδοται. 140

7 ὁποσασοῦν] ὅπως οὖν Fl 9 κατὰ διέχειαν] κατὰ om. Fl, κ. συνέχειαν MTu 10 ἑκάστης μὲν οὖν M 13 μετὰ τὸ τέλος M 16 πάλιν μὲν ἐφ' CM

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΑ ΗΦΑΙΣΤΙΩΝΟΣ.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

3.

Μέτρου δὲ πατὴρ ῥυθμὸς καὶ θεός· ἀπὸ ῥυθ- L 1b
μοῦ γὰρ ἔσχε τὴν ἀρχήν, θεὸς δὲ τὸ μέτρον ἀν-
εφθέγξατο.

Πατὴρ δὲ καὶ γένεσις τῶν μέτρων ἐστὶν ὁ ῥυθ- S 2
μός· διήκει γὰρ καθολικώτερος ὢν οὐ μόνον ἐν
τοῖς μέτροις, ἀλλὰ καὶ ἐν ἄλλοις τισίν· ἔστι γὰρ ὁ
ῥυθμὸς ἐκτελούμενος καὶ ἀπὸ τῶν ἐν χαλκείοις
σφυρῶν, καὶ ἀπὸ ἵππου ποδῶν καὶ κρότου χειρῶν
καὶ λύρας καὶ ἑτέρων τινῶν.

4.

Τοῦ δὲ περὶ μέτρων λόγου πολλοὶ πολλαχῶς L 2
ἤρξαντο, οἱ μὲν ἀπὸ στοιχείων, ὡς Φιλόξενος, οἱ
δὲ ἀπὸ τοῦ μέτρων ὅρου, ὡς Ἡλιόδωρος· ἡμεῖς δὲ
Ἡφαιστίωνι κατακολουθήσομεν, ἀπὸ συλλαβῆς ἀρ-
ξαμένῳ. Πρῶτον δὲ ὀλίγα προειπεῖν δίκαιον.

5.

Κριτικὴ μέτρων ἐστὶν ἡ ἀκοή· ὅθεν καί τινες S 3
ὁριζόμενοι τί ἐστι μέτρον, φασὶ τὸ ἐκ ποδῶν ἢ βά-
σεων συγκείμενον, αἰσθήσει τῇ δι' ἀκοῆς κρινόμε-
νον. ποδῶν δὲ καὶ βάσεων ἐκ παραλλήλου τὸ αὐτὸ
νοητέον. εἰ οὖν ἡ ἀκοὴ διακριτικὴ ἐστι μέτρων,
ἴδιον δ' αἰσθητὸν τῆς ἀκοῆς ἐστὶν ἡ φωνή, δηλον-
ότι ἡ φωνὴ ἐπικοσμεῖ τὰ μέτρα. ὡς γὰρ τὸν ἦχον
τῆς εὐρυθμίας ἐκτείνουσά τε καὶ συστέλλουσα ἡ
φωνὴ τὰς συλλαβὰς χρωματίζει καὶ ἐπικοσμεῖ, οὕ-
τως ἡ ἀκοὴ ἐπιδεξαμένη κρίνει αὐτὴν τὴν φωνὴν
καὶ τὸν ῥυθμὸν τῶν μέτρων. Ὅθεν πολλάκις ἐν

2 ἔσχε] ἔσχον libb. ἀνεφθέγξατο] ἀπεφθέγξατο libb. Schol. Hermog. p. 387 *Διὸ καὶ μέτρου πνεῦμα τὸν ῥυθμόν φησιν ὁ Λογγῖνος.* 13 ἀρξάμενοι libb. 15 Καὶ κριτικὴ libb.

πεζῇ φράσει εὑρίσκονται μέτρα, καὶ διὰ τὸν ῥυθμὸν τῆς πεζῆς φράσεως λανθάνουσι· καὶ ἔμπαλιν ἐν μέτροις εὑρίσκεται πεζὴ φράσις, καὶ οὐ νοεῖται εὐχερῶς, εἰ μὴ ἄρα ἡ ἀκοὴ καλῶς ἐπικρίνουσα εὔδηλον καὶ φανερὸν ποιήσει. Ὅθεν καὶ παρὰ Δημοσθένει ἐστὶν εὑρεῖν μέτρα, ἰαμβοὺς μὲν συνεχῶς οἷον

δῆλον γάρ ἐστι τοῖς Ὀλυνθίοις ὅτι·

ἀλλὰ καὶ ἡρωϊκὸν στίχον οἷον

τὸν γὰρ ἐν Ἀμφίσσῃ πόλεμον δι' ὃν εἰς Ἐλάτειαν·

ἀλλὰ καὶ ἰωνικὸν ἀπὸ μείζονος παρὰ τῷ αὐτῷ

πολλῶν δὲ λόγων καὶ θορύβου γιγνομένου παρ' ἡμῶν·

ὅμοιον δὲ τῷ

εὐμορφοτέρα Μνασιδίκα τὰς ἀπαλᾶς Γυρίννω(ς).

Τεκμήριον μέτρου ἀκοή. Ἔνιοι γοῦν οὕτως ὡρίσαντο· μέτρον ἐστὶ ποδῶν ἢ βάσεων σύνταξις, αἰσθήσει τῇ δι' ἀκοῆς παραλαμβανομένη. Εἰ δὲ τὸ κρῖνόν ἐστιν ἀκοή, τὸ κοσμοῦν ἐστὶ φωνή. Ὡς γὰρ τὸν ἦχον τῆς εὐρυθμίας ἐκτείνουσά τε καὶ συστέλλουσα φωνὴ σχηματίζει τὰς συλλαβάς, οὕτως εἰσδεξαμένη κρίνει ἡ ἀκοή. Διὰ τοῦτο πολλὰ τῶν μέτρων συμβέβηκεν ἀποκρύπτεσθαι σιωπώμενα ἐν τῇ κατὰ πεζὸν ῥήσει· καὶ αὖ πάλιν πολλὰς πτώσεις ἔχει πρὸς ἄλλα μέτρα. Εὕροι γοῦν ἄν τις παρὰ Δημοσθένει τῷ ῥήτορι στίχον ἡρωϊκὸν κεκρυμμένον, ὃς ἠδυνήθη λαθεῖν διὰ τὸ πεζὴν οὖσαν τὴν φοράν συναρπάσαι τῷ λόγῳ τὴν ἀκοήν· φησὶ γοῦν·

τὸν γὰρ ἐν Ἀμφίσσῃ πόλεμον, δι' ὃν εἰς Ἐλάτειαν

ἦλθε Φίλιππος.

12 γενομένου S. 14 ἀσσαρόμετρα Μνασιδικὰ S., Γυρίννω S.

στίχος ἐστὶν ἡρῷος· ἀλλὰ μὴν καὶ Ἰωνικόν, ὅταν λέγῃ

πολλῶν δὲ λόγων καὶ θορύβου γιγνομένου παρ' ὑμῖν.

Τοῦτο γὰρ ἄντικρυς Ἰωνικόν ἐστιν ἀπὸ μείζονος, ὅμοιον τῷ

εὐμορφοτέρα Μνασιδίκα τᾶς ἁπαλᾶς Γυρίννω(ς).

τὰς δὲ τῶν μέτρων συνεμπτώσεις ἐν τοῖς ἑξῆς ἐπιδείξομεν.

6.

Διαφέρει δὲ μέτρον ῥυθμοῦ. Ὕλη μὲν γὰρ τοῖς L 5
μέτροις ἡ συλλαβὴ καὶ χωρὶς συλλαβῆς οὐκ ἂν γένοιτο μέτρον· ὁ δὲ ῥυθμὸς γίνεται μὲν καὶ ἐν συλλαβαῖς, γίνεται δὲ καὶ χωρὶς συλλαβῆς· καὶ γὰρ ἐν κρότῳ, ὅταν μὲν γὰρ τοὺς χαλκέας ἴδωμεν τὰς σφύρας κατἀφέροντας, ἅμα τινὰ καὶ ῥυθμὸν ἀκούομεν. Καὶ ἵππων δὲ πορεία ῥυθμὸς ἐνομίσθη καὶ κίνησις δακτύλων καὶ μελῶν σχήματα καὶ χορδῶν κινήματα καὶ τῶν ὀρνίθων τὰ πτερ(υγ)ίσματα. Μέτρον δὲ οὐκ ἂν γένοιτο χωρὶς λέξεως ποιᾶς καὶ ποσῆς. Ἔτι τοίνυν διαφέρει ῥυθμοῦ τὸ μέτρον, ᾗ τὸ μὲν μέτρον πεπηγότας ἔχει τοὺς χρόνους, μακρόν τε καὶ βραχὺν καὶ τὸν μετα(ξὺ) τούτων τὸν κοινὸν καλούμενον, ὃς καὶ αὐτὸς πάντως μακρός ἐστι καὶ βραχύς· ὁ δὲ ῥυθμὸς ὡς βούλεται ἕλκει τοὺς χρόνους, πολλάκις γοῦν καὶ τὸν βραχὺν χρόνον ποιεῖ μακρόν. Ὅτι δὲ τοῦτο οὕτως ἔχει καὶ τὴν διαφορὰν ἴσασιν οἱ ποιηταί, λάβωμεν παραδείγματα παιζούσης κω-

9 Ὕλη μὲν] μὲν om. Vat. 11 ὁ δὲ ῥυθμὸς Fl, ὁ γὰρ ῥυθμὸς Vat. 14 ἀκούομεν Vat., ἀκούσομεν rell. 16 καὶ σχήματα libb. 17 πτερυγίσματα Toup., πτερύσματα libb. 21 μετα(ξὺ) τούτων Morus, μετὰ τοῦτον libb.

μῳδίας ἐν σπουδαξούσῃ φιλοσοφίᾳ· ὁ γοῦν ἐν ταῖς νεφέλαις φησὶ Σωκράτης, εἰ καὶ τωθάζει Ἀριστοφάνης

πότερον περὶ μέτρων ἢ περὶ ἐπῶν ἢ [περὶ] ῥυθμῶν·

ἀντιδιέστειλε γὰρ ἐκεῖνος ἀπὸ ῥυθμῶν τὰ μέτρα. Εἰς ἑκάτερον γοῦν τὸ παράδειγμα σημειωτέον ὅτι τε ῥυθμὸς μέτρου διαφέρει καὶ ὅτι ἴσασιν ἐν διδασκαλίᾳ οἱ παλαιοὶ τὴν τῶν μέτρων θεωρίαν.

Διαφέρει οὖν ὁ ῥυθμὸς τοῦ μέτρου, ὅτι μὲν ῥυθμὸς ἐν πολλοῖς ἐστιν (ἄλλοις) καὶ ἐν λέξεσι, τὸ δὲ μέτρον ἐν μόνοις τοῖς (τῶν συλλαβῶν) χρόνοις. τοῦτο δὲ δηλοῖ καὶ Ἀριστοφάνης, εἰ καὶ δοκεῖ παίξειν εἰσάγων τὸν Σωκράτην, ὅτι διαφέρει· λέγει γὰρ οὕτως S 4

πότερον περὶ μέτρων ἢ περὶ ἐπῶν ἢ [περὶ] ῥυθμῶν,

ὥστε δῆλον ὅτι ἄλλο μέτρον καὶ ἄλλο ῥυθμός.

7.

Λέγεται δὲ τὸ μέτρον πολλαχῶς. Ἔστι γὰρ μέτρον τὸ μετροῦν καὶ μετρούμενον, καθάπερ καὶ μέδιμνον καὶ λέξις καὶ πῆχυς. Λέγεται μέτρον καὶ ἡ συμμετρία, ὡς δηλοῖ τὸ λεγόμενον πᾶν μέτρον ἄριστον. Λέγεται δὲ μέτρον καὶ ὁ ποὺς ὁ ἁπλοῦς· ὅθεν καὶ τὸν στίχον ἑξάμετρον οἱονεὶ ἓξ πόδας ἔχοντα. Λέγεται μέτρον καὶ ἡ διποδία, ὅθεν καὶ τοὺς ἰάμβους τριμέτρους εἰώθαμεν καλεῖν κατὰ διποδίαν αὐτοὺς ἀριθμοῦντες. Λέγεται μέτρον καὶ τὸ σύστημα τῶν ποδῶν, οἷον στίχος ἰαμβ(ικ)ός, ὅθεν S 5

1 ὁ γοῦν Ἀριστοφάνης libb. 8 οἱ παλαιοὶ om. Vat. 10 (ἄλλοις) adiecimus. 11 (τῶν συλλαβῶν) adiecimus. 19 Lege μέδιμνον (αὐτὸ τὸ μέτρον) καὶ (τὸ ἐν αὐτῷ μετρηθὲν) λέξ(ε)ις· (ὡσαύτως δὲ) καὶ πῆχυς.

λέγομεν τήνδε τὴν ῥαψῳδίαν πεντακόσια τυχὸν ἔχειν μέτρα, οἱονεὶ στίχους πεντακοσίους. Λέγεται πάλιν μέτρον καθολικῶς πᾶσα ἔμμετρος φράσις πρὸς ἀντιδιαστολὴν τῆς πεζῆς λέξεως, οἱονεὶ τὸ ποίημα. Λέγεται καὶ (ε)ἰδικῶς ἕκαστον μέτρον, τὸ δακτυλικὸν ἢ ἰωνικὸν ἤ τι τῶν τοιούτων. Λέγεται μέτρον καὶ ὁ χρόνος· ὅθεν δάκτυλος τετράμετρός ἐστιν, οἱονεὶ τετράχρονος, καὶ ὁ ἡρωϊκὸς στίχος λέγεται κδ' ἔχειν μέτρα, οἱονεὶ χρόνους, ὡς δηλοῖ ὁ Ὀρφεὺς ἢ ἡ Πυθία λέγουσα περὶ τοῦ ἔπους οὕτως

ὄρθιον ἑξαμερὲς τετόρων καὶ εἴκοσι μέτρων.

Τὸ δὲ μέτρον λέγεται πολλαχῶς. Καὶ γὰρ τὴν L 6
εὐμετρίαν μέτρον προσαγορεύομεν ὡς ὁ εἰπὼν μέτρον ἄριστον· εἴτε σοφὸν ἀπόφθεγμα, εἴτε θεῖον ἀνάθημα, Ἀπόλλωνι μὲν γὰρ ἁρμοδιώτατον, ἐπεὶ καὶ μέτρων εὑρετής. Λέγεται δὲ μέτρον καὶ αὐτὸ τὸ μετροῦν, καὶ τὸ μετρούμενον, ὡς ὅταν εἴπωμεν τὸν μέδιμνον μέτρον, καὶ τὸ ἐν αὐτῷ μετρηθὲν μέτρον, ἀμφότερα δὲ καλεῖται μέδιμνος· καὶ αὖ πάλιν εἰ εἴποιμεν χόα τὸ σκεῦος, ἐν ᾧ μετρῶ ποσότητά τινα, καὶ αὖ πάλιν αὐτὴν τὴν ποσότητα χόα προσαγορεύομεν. Καὶ αὖ πάλιν αὐτὸ τὸ ξύλον, ὃ μόνον ἔχει πῆχυν, πῆχυν προσαγορεύομεν. Οὕτω μὲν οὖν L 7
καὶ ἐπὶ ταύτης τῆς θεωρίας πολλαχόθεν λέγεται μέτρον. Μέτρον τε γὰρ καλοῦμεν πᾶν τὸ μὴ πεζόν, ὅταν εἴπω, τὰ μὲν Πλάτωνος πεξά, τὰ δὲ Ὁμήρου μέτρα. Μέτρον καλεῖται καὶ εἶδος ἑκάστου, ὡς ὅταν εἴπω, μέτρον ἰωνικὸν καὶ μέτρον ἰαμβικὸν καὶ μέτρον τροχαϊκόν. Μέτρον καλεῖται καὶ στίχος ἕκα-

11 ἑξαμετρὲς τεττάρων lib. 17 εἴποιμεν Vat.Ambr., εἴποι rell. 28 καὶ μέτρον τροχαϊκόν] καὶ om. Vat.

στος, ὡς ὅταν εἴπω, ἡ πρώτη Ὁμήρου ῥαψῳδία μέτρα ἔχει χ· τοῦτο δὲ Ὀδυσσεὺς ὁ μετρικὸς ἐσημειώσατο. Ἔτι νῦν μέτρον καλοῦμεν τὴν συζυγίαν τουτέστι τὴν διποδίαν, ὡς ὅταν τὸ ἰαμβικὸν τὸ ἀπὸ ἓξ ποδῶν συγκείμενον τρίμετρον καλῶμεν. Μέτρον καλοῦμεν καὶ τὸν χρόνον ὅν τινες τῶν ῥυθμικῶν σημεῖον προσαγορεύουσιν. Ὅτι δὲ τοῦτο οὕτως ἔχει, παράδειγμα τεθήσεται ὅ τινες μὲν Ὀρφέως, τινὲς δὲ τῆς Πυθίας παραλαμβάνουσι· περὶ γὰρ τῶν ἐπῶν λέγων ἡ λέγουσα

ὄρθιον, ἑξαμερές, τετόρων καὶ εἴκοσι μέτρων.

Καὶ ταῦτα οὕτως ἔχει, ὥσπερ εἴρηκα. Μέτρον δὲ καὶ τὸ μετροῦν καὶ τὸ μετρούμενον· οὕτω καὶ ἐπὶ τῶν προειρημένων αὐτὸ τὸ μετρ(ούμεν)ον, τουτέστι τὸ ποίημα, μέτρον προσαγορεύεται, καὶ ἕκαστον τῶν μετρούντων τῆς ὁμοίας τετύχηκεν ὀνομασίας. Χρόνος γὰρ συλλαβὴν ποιεῖ, συλλαβὴ δὲ πόδα, ποὺς δὲ συζυγίαν, συζυγία δὲ στίχον, στίχος δὲ ποίημα. Πάντα οὖν εἰκότως μέτρα προσαγορεύεται.

8.

Γέγονε δὲ ἀπὸ τοῦ μείρω ῥήματος ὅ ἐστι μερίζω, L 8
ἀφ᾽ οὗ παρὰ ποιητῇ

ἶσον ἐμοὶ βασίλευε καὶ ἥμισυ μείρεο τιμῆς. (*I* 612)

ὡς δὲ παρὰ τὸ σείω σεῖστρον γίνεται, καὶ παρὰ τὸ δέρω δέρτρον, καὶ παρὰ τὸ φέρω φέρτρον, οὕτω καὶ παρὰ τὸ μείρω μέτρον. Ὄνομα γοῦν ἐστὶ καὶ ἐκ τῆς ἐτυμολογίας τοῦ μερισμοῦ.

Ἰστέον ὅτι μέτρον εἴρηται παρὰ τὸ μείρω τὸ S 14

2 χ] Lege χι. Cf. Fragm. Ambros. 3 Ἔτι νῦν Boivin, Εἰ τοίννυν libb. 6 ῥυθμικῶν] μετρικῶν Vat. 15 καὶ ἕκαστον τῶν — 19 προσαγορεύεται om. Vat.

μερίζω, ὡς παρὰ τὸ σείω σεῖστρον καὶ δέρω δέρτρον τὸ δέρμα, ὡς καὶ ἡ χρῆσις

δέρτρον ἔσω δύνοντες (λ 579).

9.

Σκόπον οὖν ἔχων ἐστὶν ὡς προείπομεν ὁ τεχνι- S 7
κὸς περὶ μέτρων διαλαβεῖν.

Περὶ δὲ ὅρων μέτρου νῦν εἰπεῖν οὐκ ἀναγκαῖον. L 9
Αὐτὸς γὰρ ὁ Ἡφαιστίων αἰτιᾶται τὸν Ἡλιόδωρον, ὅτι τοῖς ἐπαρχομένοις γράφει· τοῖς γὰρ ἀπείροις καὶ τοῖς μήπω τῆς μετροποιίας γεγευμένοις ἀδύνατον νοῆσαι τὸν ὅρον.

10.

Ἐπιγέγραπται δὲ τὸ παρὸν σύγγραμμα ἐγχειρί- S 10
διον, ἢ ὅτι ὥσπερ τὸ ἐγχειρίδιον ξίφος ὀξὺ καὶ τμητικόν ἐστιν, οὕτως καὶ τοῦτό ἐστιν ὀξύνον καὶ τέμνον τὴν διδασκαλίαν· ἤ, ὅπερ ἄμεινον, παρὰ τὸ μικρὸν εἶναι πάνυ, ἐπιτομὴν γὰρ ποιεῖται τῶν ἐν πλάτει αὐτῷ εἰρημένων· καὶ ὡς φησιν ἡ συνήθεια, παρὰ τὸ ἐν χερσὶν ἔχειν· οὕτω γὰρ καὶ ὁ Ἡλιόδωρος, ποιήσας καὶ αὐτὸς ἐγχειρίδιον περὶ μέτρων, φησὶν ἀρχόμενος ‘τοῖς βουλομένοις ἐν χερσὶν ἔχειν τὰ κεφαλαιωδέστατα τῆς μετρικῆς θεωρίας’ καὶ τὰ ἑξῆς. Ἰστέον δὲ ὅτι [οὗτος ὁ Ἡλιόδωρος] πρῶτον ἐποίησε περὶ μέτρων μη βιβλία· εἶθ’ ὕστερον ἐπέτεμεν αὐτὰ εἰς ἕνδεκα· εἶτα πάλιν εἰς τρία, εἶτα πλέον εἰς ἓν τούτου τοῦ ἐγχειριδίου. Παρὰ τὸ μικρὸν οὖν αὐτὸ εἶναι καὶ ἐν ταῖς χερσὶν εὐχερῶς φέρεσθαι ἐπιγέγραπται ἐγχειρίδιον.

3 *εἰσω* lib. 8 *ὑπαρχομένοις* Vat. 21 [*οὗτος ὁ Ἡλιόδωρος*] delevit Rossbach 24 *τούτου τοῦ ἐγχειριδίου*] *τοῦτο τὸ ἐγχειρίδιον* lib.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



13.

Χρήσιμον δέ ἐστι τὸ παρὸν σύγγραμμα οὐ πᾶ- S 8
σιν, ἀλλὰ τοῖς ἔμμετρα ποιήσασι βιβλία, οὐ γὰρ ῥή-
τορσιν ἢ ἁπλῶς πεζῇ φράσει κεχρημένοις. Ὤφειλε
δὲ προτάττεσθαι τὸ παρὸν σύγγραμμα, ὥς τινές
φασι πρὸ παντὸς ἐμμέτρου συγγράμματος καὶ πρὸ[ς] S 12
τῆς Ἰλιάδος. Πρῶτον μὲν γὰρ δεῖ ἡμᾶς γνῶναι
τί ἐστι μέτρον καὶ ποῖον καὶ πόθεν λαμβάνεται,
καὶ οὕτως αὐτὰ τὰ μέτρα γνῶναι εἰ καλῶς ἢ κακῶς
ἔχουσιν. Ἀλλὰ λέγομεν ὅτι ὕλη τοῦ παρόντος συγ-
γράμματός εἰσι τὰ τῶν ποιητῶν ἔμμετρα ποιήματα·
αὐτὰ γὰρ κανονίζει ὁ Ἡφαιστίων καὶ αὐτῶν τὰς
χρήσεις περιφέρει, λέγων ὅτι τοιῷδε μέτρῳ ἐχρή-
σατο ὅδε ὁ ποιητής. Πῶς δὲ τὴν ὕλην αὐτὴν ἀγνο-
οῦντες εἴχομεν τὴν μέθοδον γνῶναι; οἷον πῶς ξύ-
λων μὴ ὄντων ἠδύνατό τις τέκτων μαθεῖν; Εὐλόγως
οὖν λέγομεν πρῶτον τὰς λέξεις ἤγουν τὰ ποιήματα
τὰ ἐπιδεχόμενα μέτρον καὶ τὴν κίνησιν αὐτῶν τὴν
διὰ τῶν ὀκτὼ μερῶν τοῦ λόγου, τὴν σύνταξιν αὐ-
τῶν καὶ τὴν στιγμήν· καὶ ὕστερον τοῦτο τὸ παρὸν
σύγγραμμα περὶ τοῦ μέτρου αὐτῶν διαλαμβάνον.

Ἀνάγεται δὲ πάλιν καὶ τοῦτο, ὡς καὶ πᾶσα τε- S 13
χνικὴ ζήτησις, ὑπὸ τεχνικὸν ὄργανον τῆς γραμματι-
κῆς· οὐ γὰρ ὥς τινες ἠθέλησαν λέγειν ὑπὸ τὸ με-
τρικόν, ἐπεὶ περὶ μέτρων διαλαμβάνει. Οὐ γάρ
ἐστιν ἔμμετρον αὐτὸ τὸ ποίημα, ἵνα εἴπωμεν αὐτὸ
ὑπὸ τὸ μετρικόν, ὡς τὸ φερόμενον δι' ἰάμβων Φι-
λήμονος τοῖς Ἀττικισταῖς περὶ Ἀττικῆς ἀντιλογίας
τῆς ἐν ταῖς λέξεσιν.

14.

Ἰστέον ὅτι ὡς προείρηται ἐγχειρίδιον γράφων S 16
καὶ ὡς ἐν εἰσαγωγῆς τρόπῳ, οὐκ ἤρξατο πρῶτον

ἀπὸ στίχου, ὥς τινές φασιν, ἢ λέγειν τοῦ μέτρου ὅρον, ἢ ἀπὸ τοῦ γένους τῆς συλλαβῆς, τῆς καθόλου συλλαβῆς· καθόλου γὰρ συλλαβή ἐστιν, ὡς Διονύσιός φησιν ἐν τῇ τέχνῃ, κυρίως σύλληψις συμφώνων μετὰ φωνήεντος ἢ φωνηέντων, οἷον κάρ, βοῦς· ἀλλ' ἀπὸ τῆς ἐν εἴδει συλλαβῆς οἱονεὶ μακρᾶς καὶ βραχείας καὶ κοινῆς. Ὕλη γὰρ τῶν μέτρων ἐστὶν ἡ συλλαβή, καὶ ἄνευ ταύτης οὐκ ἂν συσταίη μέτρον. Καὶ αὐτὸς μὲν λέγει ὡς καὶ πάντες συμφωνοῦσι τῆς συλλαβῆς εἶναι τρία εἴδη τῆς καθόλου, λέγω δὴ μακρὰν καὶ βραχεῖαν καὶ τὴν λεγομένην κοινήν. Ἀλλὰ ταύτης ἤγουν μιᾶς ἑκάστης λέγει τινὰς διαφοράς, καὶ πῶς καὶ πότε καὶ κατὰ πόσους τρόπους γίνεται βραχεῖα συλλαβὴ ἡ μακρὰ ἢ κοινή. Ὁ δ' Ὧρος ἄμεινον εἰς ε πᾶσαν συλλαβὴν παραλαμβάνων φησὶ πέντε εἴδη μόνα εἶναι συλλαβῶν, δύο μὲν τῆς βραχείας, δύο δὲ τῆς μακρᾶς, καὶ ἓν τῆς κοινῆς. Ἡ γὰρ βραχεῖα συλλαβή, φησίν, ἢ φύσει ἐστὶ βραχεῖα ἢ θέσει· φύσει μέν, ὅταν ἔχῃ ἓν τῶν φύσει βραχέων, θέσει δέ, ὅταν ἔχῃ ἓν τῶν διχρόνων· καὶ ἡ μακρὰ ὡσαύτως φύσει μέν, ὡς ὅταν ἔχῃ ἓν τῶν φύσει μακρῶν φωνηέντων, φημὶ καὶ διφθόγγων, θέσει δὲ ὅταν ἔχῃ δίχρονον ἢ βραχὺ φωνῆεν διὰ συμφώνων ἢ ἑνὸς διπλοῦ ἐκτεινόμενον. Ἕν τε εἶδος τῆς κοινῆς εἶναι τὸ ἔχειν καὶ δύνασθαι βραχεῖαν οὖσαν εἰς μακρὰν παραλαμβάνεσθαι, ἢ ἔμπαλιν τὸ δύνασθαι μακρὰν οὖσαν εἰς βραχεῖαν.

Ἤρξατο δὲ αὐτοῦ ὁ Ἡφαιστίων, ὡς ἔφην, ἀπὸ L 11
συλλαβῆς, ὕλη γὰρ τοῖς μέτροις ἡ συλλαβή· καὶ ἄνευ ταύτης οὐκ ἂν συσταίη τὸ μέτρον. Τὸ ποιοῦν πρὸ τοῦ ποιηθέντος, ὅθεν ἄρξασθαι δίκαιον.

Οὐκ ἀπὸ τοῦ γένους δὲ ἤρξατο, ἀλλ' ἀπὸ τοῦ εἴδους. Διαφέρει δὲ εἶδος καὶ γένος, ᾗ γένος μέν ἐστι τὸ πρωτότυπον, εἰς εἴδη διαιρεθῆναι δυνάμενον· εἶδος δὲ τὸ ἀπὸ τοῦ γένους διῃρημένον, οἷον εἴ τις λέγοι ζῷον γένος, εἴδη δὲ αὐτοῦ ἄνθρωπον, ἵππον καὶ τὰ λοιπά. Οὐκοῦν γένος μέν ἐστιν ἡ συλλαβή· εἴδη δὲ αὐτῆς βραχεῖα καὶ μακρὰ καὶ κοινὴ καλουμένη. Οὐκ ἔδοξεν οὖν αὐτῷ ἀπὸ τοῦ γένους ποιήσασθαι τὴν ἀρχήν· τεχνικὸς γὰρ οὗτος ὁ λόγος, καὶ οὐ πάνυ τοῖς μέτροις συμβάλλεται· οὔτε ὅρῳ τὴν συλλαβὴν περιλαβεῖν, οὔτε τὸν περὶ αὐτῆς εἰπεῖν λόγον τῆς ἐτυμολογίας, καίτοι ἐν τοῖς τεχνικοῖς ἔλεγχον ἔσχεν. Ὁ ὅρος . . . . . .

Ἔστιν ἡ συλλαβὴ . . . . . . L 12

15.

Ἔτι ἡ συλλαβὴ παρὰ τοῦτο ὠνόμασται· παρὰ τὸ L 13 *ποσότητα στοιχείων εἰς ταὐτὸν συλλαμβάνειν ὧν ἔξεστιν ὑφ' ἕνα φθόγγον παραλαβεῖν, (ἂν μὴ) εἴποι τις τὰς μονογραμμάτους. Ἀλλὰ ταῦτα μὲν ξητείτωσαν οἱ τεχνικοί.*

16.

Ἐν δὲ τοῖς μετρικοῖς εἰδέναι δεῖ ὅτι πᾶσα βραχεῖα ἴση καὶ πᾶσα μακρὰ ἴση· καθόλου γὰρ αἱ μέν εἰσι δίχρονοι, αἱ δὲ μονόχρονοι. Ἐντεῦθεν τὸν μὲν δάκτυλον καλοῦμεν τετράχρονον, τὸν δὲ πυρρίχιον δίχρονον, οὐ πολυπραγμονοῦντες τῆς ποιητικῆς λέξεως ᾗ συλλαβῆς τὰ στοιχεῖα, οὐδὲ ἐν ποσότητι καταμετροῦντες τοὺς χρόνους, ἀλλὰ ἐν δυνάμει τῆς ποσότητος. L 14

15 *Ἔτι* Vat., *Ἔστι* rell. 17 *οὐκ ἔξεστιν* libb. *ἂν μὴ* om. libb. 25 *καταμετροῦντες* Vat., *καταριθμοῦντες* rell.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

ἤτοι ὅταν φωνῆεν ἐπιφέρηται τῇ διφθόγγῳ ἢ τῷ μακρῷ φωνήεντι ἢ τῷ ρ, ἐπειδὴ καὶ τοῦτο ὡς φωνῆεν τοῖς παλαιοῖς λαμβάνεται, καὶ διὰ τοῦτο καὶ δασύνεται· ὅταν ταῦτα ἔμπροσθεν εὕρηται διφθόγγου ἢ μακροῦ φωνήεντος, ἀντὶ κοινῆς συλλαβῆς ἡ δίφθογγος καὶ τὸ μακρὸν εὕρηται φωνῆεν.

ΣΧΟΛΙΑ

εἰς κεφ. α'. Περὶ ποσότητος συλλαβῶν.

A.

1. Ἀρκτέον δὲ ἀπὸ βραχείας. Οὕτω τοίνυν ὁ p. 150 Gaisf.
Ἡφαιστίων αὐτὴν ὁρίζεται· „Βραχεῖά ἐστι συλ-
λαβὴ ἡ ἔχουσα βραχὺ φωνῆεν ἢ βραχυνό- 151
μενον, μὴ ἐπὶ τέλους λέξεως, οὕτως ὡς με-
ταξὺ αὐτῆς καὶ τοῦ ἐν τῇ ἑξῆς συλλαβῇ
φωνήεντος μὴ ὑπάρχειν σύμφωνα πλείονα
ἑνὸς ἁπλοῦ, ἀλλ' ἤτοι ἓν ἢ μηδὲ ἕν". Πάνυ
οὖν ἐπαίνου ἄξιος ὁ ὅρος ὡς πάντα ἔχων ὅσα δεῖ
ὑγιῆ ὅρον ἔχειν. Ὅρος γὰρ τοῖς φιλοσόφοις ἐστὶν ὁ
μηδὲν ἔξωθεν τῶν ὁριζομένων συμπεριλαμβάνων ἢ
ὁ μηδὲν τῶν ὁριζομένων καταλιπών, ὃς ἀντιστρέφει 152
πρὸς τὸ κεφαλαιῶδες· τουτέστιν ἐὰν ἀλλήλων ὑπάρ-
χωσιν οἱ ὅροι αὐτός τε ὁ ὅρος καὶ τὸ ὁριζόμενον
οὕτως ὡς ἐπὶ τοιοῦδε παραδείγματος „ἄνθρωπός
ἐστι ζῷον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκ-
τικόν". Εἴ τι οὖν ἐστὶ ζῷον λογικόν, θνητόν,
νοῦ καὶ ἐπιστήμης δεκτικόν, τοῦτό ἐστιν ἄνθρωπος
πάντως. Καὶ αὖ πάλιν „φωνή ἐστιν ἀὴρ πεπληγ-
μένος". Εἴ τι οὖν ἐστὶν ἀὴρ πεπληγμένος, τοῦτο
φωνὴ πάντως. Οὕτως οὖν καὶ ἐπὶ τοῦ προκειμένου
ὅρου εἴδωμεν τὸ ἀντιστρέφον. Εἴ τί ἐστι βραχὺ

12 ὅρος γὰρ τ. φ. ἐστὶν] ὅρος καὶ τ. φ. εἶναι libb.

φωνῆεν, μὴ ἐπὶ τέλους λέξεως κείμενον, μετα(ξὺ ἑαυτοῦ καὶ) τῆς ἄλλης συλλαβῆς οὐκ ἔχον σύμφωνα ἑνὸς πλείονα, τοῦτο πάντως ἐστὶ συλλαβὴ βραχεῖα. προ(σ)είρηται δὲ τὸ „μὴ ἐπὶ τέλους λέξεως κείμενον“ διὰ τὴν κοινὴν λεγομένην. Ἐὰν γὰρ εἰς μέρος ἀπαρτίζῃ λόγου, τῷ τῆς κοινῆς ὑποπίπτει λόγῳ, οἷον ὅταν συλλαβὴ βραχεῖά ἐστιν ἐπὶ τέλους λέξεως κειμένη, ἐνομίσθη ποτὲ μακρὰ ὡς ἡ παρὰ τῷ ποιητῇ

τὰ περὶ καλὰ ῥέεθρα (Φ 352)

καὶ αὖ πάλιν ἡ „πρὸς“ συλλαβὴ βραχεῖά ἐστιν, ἀλλ' ἐν τόπῳ κεῖται μακρᾶς ὅταν Ὅμηρος εἴπῃ

πρὸς οἶκον Πηλῆος (Ι 147)

σπονδεῖον γὰρ δεῖ εἶναι τὸν πόδα. Ἔτι δέ φησι „μὴ εἶναι σύμφωνα μεταξὺ — ἑν(ὸς πλείονα)“ διὰ τὴν (θέσει) μακράν· εἰ γὰρ συμβαίη βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι δύο σύμφωνα ἐπενεχθῆναι, μακρὰν ποιήσει τὴν συλλαβὴν οἷον ἡ μὲν (ε) συλλαβή ἐστι βραχεῖα· ἀλλ' ἐὰν δύο σύμφωνα ἐπενεχθῇ, ὡς ἐν τῷ „Ἕκτωρ“, μακρὰν ποιήσει τὴν συλλαβήν. Διὰ τοῦτο προσέθηκε „μὴ δεῖν ὑπάρχειν σύμφωνα δύο, ἀλλ' ἓν ἁπλοῦν ἢ μηδὲ ἕν“. Καὶ γὰρ ἐὰν διπλοῦν προσενεχθῇ, μακρὰν ποιήσει τὴν συλλαβὴν ὡς ἐν τῷ

ἄξω ἑλών.

Διαλαμβάνει οὖν ὁ μὲν τεχνικὸς πρῶτον περὶ 151

1 μετα(ξὺ ἑαυτοῦ καὶ) τῆς ἄλλης] μετὰ τῆς ἄλλης libb. 4 προσείρηται] προείρηται libb.Gaisf. 5 ἐὰν γὰρ] ἐάνπερ libb.Gaisf., qui ἐάνπερ εἰς μέρος — εἶναι τὸν πόδα cum Boivin Hephaestioni abiudicans uncinis inclusit 8 παρὰ τῷ ποιητῇ] περὶ τ. π. libb. 13 Ἔτι δέ φησι] Εἰ δέ φησι libb.Gaisf. 14 μὴ ἔχει σύμφωνον μεταξὺ ἓν διὰ τὴν μακράν libb. 17 ἡ μὲν ε συλλαβὴ] ε om. libb.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



εἶναι σύμφωνον τῆς μακρᾶς, ἢ τελικὸν αὐτῆς ἢ τῆς ἑξῆς ἀρκτικόν, καλῶς προσέθηκεν ἵνα διαστείλῃ τὴν κοινήν. εἰ γὰρ λήγει εἰς φωνῆεν καὶ τὴν ἑξῆς ἔχει ἀπὸ φωνήεντος ἀρχομένην, κοινὴ γίνεται, ὡς τὸ

ἄνδρα μοι ἔννεπε μοῦσα·

τὸ αὐτὸ καὶ ἐπὶ τοῦ

πλάγχθη ἐπεὶ Τροίας,

τὸ αὐτὸ καὶ ἐν τῷ

τοῦ κέρα ἐκ κεφαλῆς.

ἡ γὰρ ρα συλλαβὴ φύσει ἐστὶ μακρὰ κατὰ κρᾶσιν τῶν δύο αα οὖσα ἀπὸ τοῦ κέραα. Θέσει δὲ καλοῦσι μακρὰς οἱ γραμματικοὶ τὰς γινομένας ἐκ τῆς τῶν συμφώνων ἐπιπλοκῆς· καὶ λέγει αὐτῆς τρόπους καὶ διαφορὰς ε΄, ἃς καὶ Διονύσιός φησι. S.

(*Μακρὸν φωνῆεν*)] Ἢ καὶ φύσει μακρά· ἡ γὰρ τὸ η λαβοῦσα ἡ τὸ ω κατ' ἀνάγκην ἐκτείνεται, τῆς φύσεως τῶν στοιχείων (τούτων) οὔσης μηκυντικῆς. ἰστέον δὲ ὡς ἔστι μακρὰ τρίχρονος ἢ καὶ πλειόνων χρόνων οἷον ηὔλουν Θρᾷξ. ὁ μέν(τοι) μετρικὸς λόγος οὔτε ἥσσονα μονοχρόνου οἶδεν οὔτε μείζονα διχρόνου. S.

2ᵇ. *Μακρὰ – μὲν σημείωσίς ἐστιν ἐκτεινομένου φωνήεντος· βραχεῖα ◡ δὲ σημείωσις συστελλομένου φωνήεντος· καὶ τίθεται ἡ μὲν μακρὰ εἰς δίχρονον ἐκτεταμένον, οἷον, λῑτότατος, ἰσχῡρότατος, δυσ-*

16 *Μακρὸν φωνῆεν*] Lemma om. libb.Gaisf. ἢ καὶ φύσει μακρά. ἢ γὰρ libb.Gaisf. 23 Signa longae et brevis syllabae om. libb. Addidi e Dracone unde scholii scriptor exempla collegit. Quae asterisco notavi, corrupta sunt. Inter haec στρατηγὸς etiam apud Draconem legitur.

πρᾱγότατος· ἡ δὲ βραχεῖα εἰς δίχρονον συνεσταλμένον, οἷον, ἁγῐ̈ώτατος, ὀχῠ̈ρώτατος, ἀγλᾰ̈ώτατος. (ἰστέον ὅτι τὰ διὰ τοῦ ότερος καὶ ότατος, εἱ μὲν ἔχουσι τὴν πρὸ τοῦ ο συλλαβὴν βραχεῖαν, διὰ τοῦ ω γράφεται. Βραχέα ὡς ἐπίπαν εἰσὶ πέντε· α. ε. ι. ο. υ. Εὑρισκομένων δὲ δύο (ἢ πλειόνων) συμφώνων, (οὐκ) ἐκτείνεται τὸ πρὸ τοῦ ωτερος φωνῆεν, οἷον *ἁβρότατος καὶ *λαμπρότατος. ἐκτείνουσι γὰρ τὸ *μ. καὶ τὸ *π καὶ τὸ βρ. Ὁμοίως δὲ καὶ ἑνὸς τῶν διπλῶν εὑρισκομένου (οὐκ) ἐκτείνεται, οἷον *ἀψότερος καὶ *ἀξιότερος, ἀντὶ γὰρ δύο συμφώνων εἰσὶ τὰ διπλᾶ. M.) Τὰ δὲ σεσημειωμένα [ἐν τοῖς βραχέσι] μακρὰ τῶν φωνηέντων, ἃ καὶ χωρὶς δύο συμφώνων καὶ διπλῶν ἐκτείνονται (καὶ ποιοῦσι τὰ διὰ τοῦ ότερος μικρά M), ταῦτά ἐστι κατὰ στοιχεῖον· Ἄκρᾱτος, ἀνιᾱρός, ἀνί-ατος, ἄνῑσος, ἀπρόσῑτος. Βούλῑμος, βόθῡνος, βρῡχή, βρῑμώ, βρίθω. Γλίφω, γλίχων, γρῡπός, γρῖφος, γῡρός. Δύσπρᾱγος, δυσπέρᾱτος. Ἐπάρᾱτος, εὐθύνω. Θέᾱ, θῡμός. Ἶσος, ἴσχῡρος, ἴφθῑμος. *Κενός, κηλίς, κνῖπός, κρῖτός, κρῑθή, κίνδῡνος, κῦμα, κῦρος. Λῖπος, λῑρός, λῑμός, λῑτός, λύμη. Μᾱνός, μῦθος. Νίκη. Ξενᾱγός, *ξένος. Οἰζῡρός, ὅμῑλος. Πρᾶος, πῖον, περάσω, πρᾶγος, πῡγή, πῡρά, πῡρός. Ῥάθῡμος, ῥᾴων, ῥῑνός, ῥῑγῶ, ῥῡσός. Σῖμός, σῑλών, Σέρῑφος, σῑγή. Τῑμή, τρᾱνός, τῦφος. Ὕλη. Φᾱνός, φθίνω, φῑμῶ, φλῡαρῶ. Χαλῑνός, χρῡσός, χῡμός, χῡλός. Ψᾱρός, ψῑλός, ψῡχή. Ταῦτα μὲν ἡ τῶν ποιητῶν χρῆσις μακρὰ δέχεται· ὅσα δὲ ἀπ' αὐτῶν, γράφεται διὰ τοῦ ότερος καὶ ότατος. (Διαλαμβάνει περὶ τούτων Κύριος Μανουὴλ ἐν τῷ καλου-

24 Σιμὸς ὁ πατζὸς σ. στέριφος στρατηγός M 30 Κύριος Μανουὴλ ἐν τ. κ. πρώτῳ M] ὁ Δράκων ἐν τῷ περὶ μέτρων D

μένῳ πρώτῳ πλατύτερον μετὰ πολλῆς ἄγων τῆς ἀκριβείας, καὶ ὁ βουλόμενος ἐκεῖθεν αὐτὰ εἴσεται M.)

3. ἕξῃς εἶναι σύμφωνον] Οὐ νόμος οὗτος, ἀλλὰ διδασκαλίας ἀσφάλεια. Πολλάκις γὰρ μὴ ὄντος συμφώνου μακρὰ γίνεται, ὡς ἐν τῷ

Πῇ ἔβη Ἀνδρομάχη.

ἡ μὲν πη ἀντὶ μακρᾶς, ἡ δὲ βη ἀντὶ βραχείας, καίτοι ἀμφότεραι εἰς φωνῆεν λήγουσιν, ἀλλ' ὅμως τὴν μὲν πη μακρὰν διὰ τὴν φύσιν ἐτηρήσαμεν, τὴν δὲ βη ἡ βία τῆς χρείας ἀντὶ βραχείας εἴληφεν. S.

4. Θέσει μακραὶ] Θέσει μακραὶ γίνονται ὅταν μεταξὺ δύο φωνηέντων πίπτῃ δύναμις δύο συμφώνων. S.

γίνονται] Τὸ γίνονται ἀντὶ τοῦ τίθενται· τίθησι γάρ τις τὸ μὴ οὕτως φύσει ἔχον. S.

5. τῆς ἕξῆς συλλαβῆς] Καὶ τοῦ ἐν τῇ ἑξῆς συλλαβῇ. Ἀδύνατον γὰρ μετὰ τὸ πρῶτον φωνῆεν καὶ τὴν πρὸς ἐκεῖνο συμπλοκὴν τῶν συμφώνων μὴ ἐπιφέρεσθαι τῆς ἑξῆς συλλαβῆς ἕτερον φωνῆεν. Εἰ δὲ μὴ οὕτως ἔχοι, ἀσύστατος καὶ ἀνεκφώνητός ἐστιν ὁ λόγος. S.

6. Ἰστέον δὲ ὅτι τῶν τεχνικῶν καὶ μετρικῶν λεγόντων περὶ τῆς φύσει μακρᾶς μὴ θέλειν αὐτοὺς τὴν μακρὰν εἰς φωνῆεν καταλήγειν, καὶ τὴν ἑξῆς ἔχειν ἀπὸ φωνήεντος ἀρχομένην, ἀλλὰ πάντως ἔχειν μεταξὺ σύμφωνον. Τότε γὰρ οὐ γενήσεται μακρὰ ἵνα ἐστὶ καθαρά, ἀλλὰ κοινή. Λέγει ὁ Ἡλιόδωρος βοηθῆσαι τῷ τοιούτῳ τρόπῳ καὶ μεῖναι αὐτὴν μακρὰν καὶ γίνεσθαι κοινὴν κατὰ ή τρόπους. Πρῶτον μὲν ὅτε στιγμὴ ἐπιφέρεται αὐτῇ τῇ μακρᾷ οἷον

1 ἄγαν M, ἄγων D 23 μὴ θέλειν αὐτὴν τὴν μακρ. libb. Gaisf.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

μένων αὐτῇ δύο συμφώνων τῆς ἑτέρας συλλαβῆς, τὸ ἕκτωρ, πάνυ ἁρμοδίως. Ἀπὸ γὰρ τοῦ ἔχω ἔξω γέγονεν, ὁ ἐχόμενος καὶ ἀντιλαμβανόμενος τῆς οἰκείας πόλεως. Οὐ γάρ ἐστι ἐκ τῆς ε̄κ̄ προθέσεως· ἵνα τις ὑπολάβῃ τὸ κ εἶναι μετὰ τοῦ ε καὶ τὴν τωρ συλλαβὴν κατ' ἰδίαν. S.

8. ἔνθα καὶ δεῖ] Τινὲς ἀτόπως φασὶν ἰσοδυναμεῖν τῇ μακρᾷ δύο βραχείας, ἀγνοοῦντες ὅτι οὐχ ἡ μακρὰ ἢ ἡ βραχεῖα τοῦ σώζεσθαι τὰ μέτρα αἰτιαι, ἀλλ' ἡ φύσις τῶν μέτρων. Τὸ γὰρ „πολλὰς δ' ἰφθίμους" εἰ ποιήσαιμι πολλάκι δ' ἰφθίμους σώζεται τὸ μέτρον μετ' ἀμφοτέρων, καὶ οἱ πόδες οἰκεῖοι τοῦ μέτρου εἰσίν· ἐπεὶ εἰ τὰς συλλαβὰς οἴονται αἰτίας εἶναι, τὴν πρώτην τοῦ ἔπους κίνησον συλλαβήν, ἀντὶ μακρᾶς ποίησον δύο βραχείας πολλέας δ' ἰφθίμους, καὶ οὐκ ἔστι τὸ μέτρον καίτοι δύο βραχειῶν οὐσῶν, ἀλλ' ὁ ποὺς ἀλλότριος. Τὸ βορέης καὶ ξέφυρος ἐπισκεψόμεθα αὐτοῦ λέγοντος ἐφεξῆς. S.

9. δεύτερον ὑγρὸν] Ἐν γὰρ τῇ συλλήψει αὕτη μὲν κοινὴ γίνεται οὐκ ἐν δια(σ)τάσει ὡς ἑξῆς ἐρεῖ. S. Πολλάκις καὶ κατὰ σύνταξιν εὑρίσκομεν δύο, ὡς τὸ νὺξ ζοφώδης. S.

10. Κοινὴ] Τὴν κοινὴν συλλαβὴν ἀμφίδοξον καλοῦσι, διὰ τὸ ἀμφίβολον εἶναι τὴν περὶ αὐτῆς δόξαν· πῇ μὲν γὰρ ἀντὶ μακρᾶς, πῇ δὲ ἀντὶ βραχείας παραλαμβάνεται· διὸ ὅρον αὐτῆς οὐκ ἐκθετέον· οὐ γάρ ἐστιν, ἀλλὰ γίνεται. Ὅταν γὰρ ἡ χρεία καλέσῃ, ἢ μακρὰ ἢ βραχεῖά ἐστιν. Ἐν μέσῳ δὲ ἀμφοῖν κειμένη, κοινὴ προσαγορεύεται.

ρομένων Gaisf., ἐπιφερομένην lib. 23 Τὴν κοινὴν σ. MS, Κοινὴν τ. σ. Tu 28 βραχεῖά ἐστιν MTu, ἔσται S

10ᵇ. *Ἰστέον δὲ ὅτι ὁρίζονται τινὲς αὐτὴν οὕτως. Κοινή ἐστι συλλαβὴ ἀμφίδοξος συλλαβῆς δύναμις, ἢ πρὸς ἀμφότερα δύναται λαμβάνεσθαι· τῷ δὲ Ἡφαιστίωνι ὖρον οὐκ ἔδοξεν αὐτῆς θεῖναι, οὐδὲ τῆς θέσει μακρᾶς. Καὶ εἰκότως· ἐπειδή φησιν ὅτι οὐκ ἐξ αὐτῶν εἰσίν, ἀλλὰ θέσει ἢ μακραὶ ἢ βραχεῖαι γίνονται. Περιττὸν δὲ τῆς μὴ οὔσης ὅρον ἀποδοῦναι· οἱ γὰρ ὅροι τῶν ὄντων φύσει.* S.

10ᶜ. *Ἰστέον δὲ ὅτι τῆς κοινῆς συλλαβῆς ὁ Ἡφαιστίων οὐδαμῶς ὡρίσατο, οὐ γάρ ἐστι κοινή· διὸ καλῶς φησί, γίνεται δὲ κοινή, καὶ οὐκ ἔστιν· ὅτι γὰρ οὐκ ἔστιν οὐδὲ μία κοινὴ συλλαβὴ δῆλον· εἰ γάρ τις ἡμᾶς ἐρωτήσει ποῖα ἐστὶ συλλαβὴ μακρά, ἀποφαντικῶς ἐροῦμεν ἡ μη καὶ βω, ὁμοίως καὶ βραχεῖα ἡ με καὶ ἡ βο· καὶ πάλιν μακρὰ ἡ χη καὶ μοι· καὶ ὅμως ὁ ποιητὴς ἑκατέρᾳ τούτων ἐν τῷ πλάγχθη ἐπὶ Τροίης, καὶ ἐν τῷ ἄνδρα μοι ἔννεπε μοῦσα ὡς βραχείᾳ κέχρηται. Καὶ ὅμως οὐκ εἰσὶ βραχεῖαι, ἀλλὰ κοιναὶ γίνονται. Τοῦτο καὶ ἐπὶ πάσης κοινῆς.* S.

10ᵈ. *Καλῶς οὐχ ὡρίσατο αὐτήν. Οὐ γὰρ ἔστιν, ἀλλὰ γίνεται. Τῶν δὲ μὴ ὄντων, οὐ δεῖ παρέχειν ὅρους ὡς ὄντων· ἐν μέσῳ δὲ ἀμφοῖν κειμένη κοινὴ προσαγορεύεται. τινὲς ὡρίσαντο τὴν κοινὴν συλλαβὴν οὕτως· κοινή ἐστι συλλαβὴ ἀμφίδοξος συλλαβῆς δύναμις, ἢ πρὸς ἀμφότερα δύναται λαμβάνεσθαι. Τῷ δὲ Ἡφαιστίωνι ὅρον οὐκ ἔδοξεν αὐτῇ δοῦναι, οὐδὲ τῆς θέσει μακρᾶς, καλῶς. Ἐπειδή φασιν ὅτι ἐξ αὐτῶν εἰσίν, ἀλλὰ θέσει ἢ βραχεῖαι ἢ μακραὶ γίνονται· περιττὸν δὲ τῆς μὴ οὔσης ὅρον*

5 *φησιν*] *φασιν* libb. 7 *περιττὸν* Gaisf., *περιτταὶ* lib.
10 *ὡρίσατο* om. lib. Gaisf.

ἀποδοῦναι· οἱ γὰρ ὅροι τῶν ὄντων φύσει δίδονται. S.

11. Εἷς τρόπος δέ ἐστι τῆς κοινῆς συλλαβῆς, εἰ καὶ αὐτὸς δοκεῖ ἁπλῶς τρεῖς λέγειν τρόπους· ὡς καὶ Διονύσιος. Ὅταν γὰρ εἰς μακρὰν λήγῃ καὶ ἀπαρτίζῃ εἰς μέρος λόγου καθαρὸν καὶ τὴν ἑξῆς ἔχει ἀπὸ φωνήεντος ἀρχομένην, κοινὴ γίνεται. Καὶ τοῦτο πάνυ πρόδηλον ἐκ τῶν παραδειγμάτων. Κεχρήμεθα δὲ αὐτῇ καὶ ἡμεῖς ἡνίκ' ἂν ποιῶμεν τὸν ἀμφίμακρον καὶ παλιμβάκχειον πόδα. S.

12. κέρα] Τὸ ρα μακρόν ἐστιν, ἀπὸ συναιρέσεως γινόμενον, μᾶλλον δὲ ἐκ κράσεως. Ὡς γὰρ κρέας κρέατος καὶ κρέως, καὶ κρέατα, καὶ κρεάα, καὶ κρέα. Καί ἐστι τοῦ κρέα τὸ α μακρόν· τὰ γὰρ δύο αα εἰς α μακρὸν κιρνᾶται. Οὕτω καὶ τὸ κέρας λέγομεν τοῦ κέρατος καὶ κέραος, καὶ κέρως, τῷ κέρατι καὶ κέραι καὶ κέρᾳ, καὶ ἔστι τὸ ρα μακρὸν ἐκ κράσεως, διὰ τοῦτό ἐστι τὸ ρα μηκυνόμενον. M.D.

13. Ῥᾷον μὲν] Ἡ γὰρ ἀνάπαυσις τοῦ λόγου τὰς συλλαβὰς ἀπ' ἀλλήλων χωρίζουσα τρόπον τινὰ τὰς μακρὰς εὐφωνοτέρας καθίστησι. Φησὶ δὲ ὁ μετρικός, ὅτι ἡ κοινὴ συλλαβὴ ὅταν καταλήξῃ εἰς μέρος λόγου καλλίστη ἐστίν. Εὑρίσκεται δὲ μὴ εἰς μέρος λόγου πεπερατωμένη. ‖ Ἰστέον δὲ ὅτι καλῶς φησὶν ὅτι ῥᾷον γίνεται ἡνίκα ἀπαρτίζῃ εἰς μέρος λόγου καθαρὸν ἡ μακρά· γίνεται γὰρ καὶ μέσῳ (lib. μέτρῳ) λέξεως καὶ ἐν ἀρχῇ λέξεως κοινή. Ἀλλ' οὐχ οὕτως ῥᾷον καὶ εὐχερές. Καὶ φέρει ἐν διαφόροις μέτροις τὰ παραδείγματα κτλ. S.

15 κέρας λέγομεν M, κέρ. λεγόμενον D

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



τισπαστικήν, τῆς τελευταίας οὔσης ἀδιαφόρου, ἀλλ' ἐναντιοῦται ἡ ἀντιστροφή. Εὑρίσκομεν γὰρ ὅλα τὰ ἀντιστρέφοντα ἰαμβικῇ κατακλειόμενα ξανθὰ παῖ διὸς ἀγρίων. Ἀεὶ δὲ τὸ ἀντισπαστικὸν δίμετρον τὸν πρῶτον ἁπλοῦν πόδα ἀδιάφορον λαμβάνει. S.

17. *Ἀμυσχρὸν*] *Ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. Τοῦ γὰρ Ἀρχελαΐδος καὶ τοῦ Πηνελαΐου τὸ λα ἐκτεταμένον ἐστί· γίνεται οὖν κοινή. (Ἰστέον δὲ ὅτι καὶ ὁ Φιλόπονος εἰς ἐπίγραμμα Καισαρείας ὡσαύτως ἐποίησε. Τὸ δὲ ἀμυσχρὸν τινὲς ἐν αὐτῇ τῇ χρήσει, ἀμυσχρόν φασιν, ὃ σημαίνει τὸ ἀδύνατον.* S.)

18. *Πηνελάοιο γὰρ ἦν. Ἀλλ' ἐπειδὴ ἐκτεταμένον ἦν τὸ ᾱ, οὐκ ἠδύνατο δὲ τοῦτο, μετέβαλεν εἰς τὸ ᾱ βραχεῖαν.* S.

19. *Ἔτι δ' ἐστὶν εὑρεῖν καὶ (παρ') ἄλλοις, ὡς παρὰ Σοφοκλεῖ ἐν Οἰδίποδι τῷ ἐπὶ Κολωνῷ, ἔνθα φησί*

μόνοις οἴονται συνταλαιπωρεῖν τάδε (1136).

Ἐν γὰρ τῷ δευτέρῳ ποδὶ τὴν οι συνέστειλεν. Ἀλλὰ καὶ Ἀριστοφάνης ἐν Ἱππεῦσιν ὡσαύτως, ἔνθα φησί

καὶ τὰ Βοιωτῶν ταῦτα συντηρούμενα (477).

καὶ πάλιν ὁ αὐτός

πῶς οὖν ὁ τυρὸς ἐν Βοιωτοῖς χρήσιμος,

τὴν βοι συνέστειλεν ἐν τετάρτῳ ποδί. Ἀλλὰ καὶ Μένανδρος ἐν Ἐπιτρέπουσιν

οἳ τηλικοῦτοι καὶ τοιοῦτοι τῷ γένει

7 *τοῦ γὰρ Ἀρχ. καὶ τοῦ Πην.*] *τὸ γὰρ Ἀρχ. καὶ τὸ Πην.* libb.Gaisf. 8 *ἐστί* om. M 16 *(παρ') ἄλλοις*] *παρ'* om. lib. Gaisf. 24 *χρήσιμος*] *ὀνήσιμος* lib.Gaisf. 26 *ἐὰν Ἐπιτρέπωσιν* lib.

τὴν τοι ἐν τετάρτῳ ποδὶ συνέστειλε. τὸ αὐτὸ δ' ἐστὶ καὶ ἐπὶ τῆς αι διφθόγγου, ὡς Εὔπολις ἐν Ἀστρατεύτοις φησὶν

Ἀθηναίων εἰ βούλεταί τις ἐγγράφειν,

ἐν δευτέρῳ ποδὶ τὴν αι συνέστειλε. Παρὰ δ' Ἱππώνακτι ἐπὶ τῆς αι καὶ οι διφθόγγου πολλή ἐστιν ἡ χρῆσις. Οὐ δεῖ δὲ ἡμᾶς τοὺς νεωτέρους χρῆσθαι· εἰ δέ τις χρήσαιτο ἔχει ἀπολογίαν· οὔτε γάρ εἰσι μακραὶ φησὶν ἡ αι καὶ ἡ οι δίφθογγοι, ἀλλ', ὡς ἐν τῷ περὶ τόνων δείκνυται, αὗται πρὸς ἕνα ἥμισυ χρόνον ἔχουσι χρόνον, τῆς φύσει μακρᾶς δύο ἐχούσης, ὅθεν καὶ ἐπὶ τέλους οὖσαι ἔχουσι πολλάκις τὸν προπαροξύτονον τόνον. Εἶτα φέρει ὁ τεχνικὸς παραδείγματα ἐπὶ τῆς οι διφθόγγου· ἥτις πάλιν ἔχει ἀπολογίαν ὅτι ἀσθενεστέρα ἐστίν, ὡς ἐκ δύο ὑποτακτικῶν τῆς υ καὶ ι συνεστηκυῖα· ὅθεν οὐδέποτε ἐν τέλει λέξεως εὑρίσκεται, ἀλλ' ἐν μέσῳ τὴν κοινὴν ἐποίησεν. Ἔστι δ' εὑρεῖν τὴν ου δίφθογγον ποιοῦσαν κοινήν, οἷον παρ' Ἀριστοφάνει

ὥσπερ τεθνεῶτος καταλούειν μου τὸ βιβλίον (Nub. 836).

Τὴν γὰρ λου συλλαβὴν ἐν τετάρτῳ ποδὶ ἰάμβῳ συνέστειλεν· ὁμοίως καὶ τὴν ευ εὑρίσκομεν ποιοῦσαν κοινήν, οἷον ἐν τῷ πρώτῳ ἰάμβῳ Ἱππώνακτος, ἔνθα φησὶ

μακάριος ὅστις θηρεύει,

τὴν ρευ ἐν τετάρτῳ ποδὶ συνέστειλε· καὶ πάλιν ὁ αὐτὸς ἐν δευτέρῳ ποδὶ τὴν ευ·

καίτοι γ' εὔωνον αὐτὸν εἰ θέλεις δώσω. S.

Ἰστέον δὲ ὅτι ἡ τοῦ ποιητοῦ χρῆσις ἡ ἔχουσα τὴν οι τὴν ἀντὶ βραχείας παραλαμβανομένην, *ἀλλ' ἐν ἀμφιμάκρῳ, ὡς ἐν τῷ ὁρῶν ἄειδε τοιαῦτα, καὶ

τοῖς ὁμοίοις, ὁ δ' Ἡλιόδωρος ἔλεγεν αὐτὸ κατὰ συνίζησιν. εὑρίσκεται δ' ἁπλῶς ἐν μέσῳ λέξεως κοινή, καὶ ἐν παλιμβαχχείῳ, ὡς καὶ παρὰ Τυρταίῳ „ἥρωες". οὕτω γὰρ ἔλαβε τὸν δεύτερον πόδα τοῦ στίχου. S.

20. Δεύτερος δέ ἐστι τρόπος — ὅπλον, ἄκρον] Καλῶς πρόκειται ἐν συλλήψει· ἐὰν γάρ εἰσιν ἐν διαστάσει οὐ ποιοῦσι κοινήν, ἅτε δὴ τοῦ διαστήματος ἐν τῷ διαχωρίζειν τὰ σύμφωνα μείζονος γινομένου, καὶ μὴ οὔσης ὀλισθηρᾶς ἐν συντόμῳ φωνῆς ὥστε δύνασθαι λαθεῖν. Ζητοῦσι δέ τινες, διὰ τί μὴ τὰ δύο ὅμοια ποιοῦσι κοινήν· λέγω δὴ δύο ἡμίφωνα ἢ δύο ἄφωνα ἢ ἀμετάβολα. Καὶ λέγομεν περὶ τῶν ἡμιφώνων ὡς ὅλως ἡμίφωνον οὐ προηγεῖται ἡμιφώνου κατὰ σύλληψιν, εἰ μὴ σπανίως καὶ εἰς τινὰ κατὰ πάθος. Τὸ σ τοῖς ἀμεταβόλοις ὑποτάσσεται, τῷ λ μ ν ρ, ὥσπερ αὐτός φησι, τὸ μάσλης, καὶ πάσνης. Εἶτα καὶ ὁ Ἡρωδιανός φησιν ἐν τῇ καθόλου· τὸ δὲ δάσληρα· ἔστι δὲ λίμνη Κυρήνης τῆς πενταπόλεως, ὅθεν ἦν ὁ Καλλίμαχος· τὰ γὰρ κατὰ τὸ τέλος ἔμπαλιν ἔχοντα τὸ λ τοῦ σ προηγούμενον πάλιν δι' ἀνάγκην· δι' ἀνάγκην γὰρ τὸ ἅλς καὶ τίρυνς καὶ μάκαρς· κατὰ πάθος δέ, ὡς τὸ μάσλης ἀπὸ τοῦ μάσθλης, καὶ ἐσλὸς ἀπὸ τοῦ ἐσθλός. Περὶ δὲ τῶν ἀφώνων εἰπεῖν, ὅτι ἀσθενέστερά εἰσι μᾶλλον τῶν ἄλλων στοιχείων, καὶ εὑρέθησαν σπανίως ποιοῦντα κοινὴν ἐν αὐτοῖς, τὸ πτ καὶ τὸ κτ ὡς παρὰ τῷ ποιητῇ

Αἰγυπτίη τε φέρει πλεῖστα ξείδωρος ἄρουρα (δ 229).

εἶτα καὶ ὅτι τῷ λόγῳ τῆς κοινῆς οἱονεὶ βραχείας τὸ

8 μείζονος γινομένου] μ. γινόμενον lib.Gaisf. 9 συντόμῳ] συντόμου lib. 10 διὰ τί] διά τι lib.Gaisf. 26 τὸ πτ καὶ τὸ κτ] τὸ π καὶ τ καὶ τὸ κτ lib.Gaisf.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

υ μακρόν· ἐπιφερομένου μέντοι τοῦ μν γέγονε κοινή.

23. *τὸ ἄφωνον*] *Ὥστε εἶναι αὐτὸ κατὰ διάστασιν δηλονότι· οὕτω γὰρ ὁ ἐξηγητής φησι.*

24. *ἔκ με λάσας*] *Μακρὰ γὰρ ἔμεινεν ἡ ε· καίτοι ἑξῆς ὄντος ἀφώνου καὶ ὑγροῦ ἀλλὰ κατὰ διάστασιν.*

25. *Φησὶ δὲ ὁ Ἡλιόδωρος*] *Ἐπιλαμβάνεται Ἡλιοδώρου μὴ οἰομένου ποιεῖν κοινήν, ὅταν μετὰ τὸ ἄφωνον τὸ μ ἐστίν, οἷον ὄγμος, καὶ ἐπιφέρει τὰ παραδείγματα.*

26. *σκῆψιν μὲν*] (*Συνηγορῶν Ἡλιοδώρῳ δῆθεν ταῦτά φησιν.* om. S.) *Ἠδύνατο γὰρ ἐλήλυθμεν εἶναι, εἰ μηδὲν ἐκώλυε· κατὰ σύλληψιν γὰρ ἐπέφερε τὸ ἄφωνον καὶ ὑγρόν· ψεῦδος δὲ τοῦτο. Ἀττικὸν γάρ ἐστι τὸ ἐλήλυμεν· οὐ γὰρ διὰ τὸ μέτρον ἀφῃρέθη τὸ θ, ἀλλὰ σύνηθες αὐτῷ οὕτω λέγειν.*

27. *Τοῦτο δὲ ψεῦδος.*] *Εἰσὶ γὰρ πολλαὶ πάνυ χρήσεις, εἰσὶ δὲ καὶ ἄλλα πολλὰ καὶ μάλιστα αὐτοῦ τοῦ θμ, οἷον παρ' Ἀριστοφάνει ἐν Πλούτῳ*

ἐμβὰς γερόντων εὐρύθμοις προβλήμασιν (759)

καὶ ἐν Νεφέλαις

πότερον περὶ μέτρων ἢ ῥυθμῶν (638)

πάλιν

ταχύ γ' ἂν δύναιο μανθάνειν περὶ ῥυθμῶν (647)

καὶ

τί δέ μ' ὠφελήσουσ' οἱ ῥυθμοὶ πρὸς τἄλφιτα (648)

καὶ

ἐπαΐονθ' ὁποῖός ἐστι τῶν ῥυθμῶν (650)

5 *Μακρὰ*] *μακρὸν* M 9 *οἰομένου μὴ* S, *μὴ οἰομένου* ΓuM 10 *ἐπιφέρει*] *τίθησι* M 14 *ἐπεφέρετο* S 27 *τί δ' ἂν ὠφηλήσειαν* lib. 29 *ἀπαΐειν ὅποιός* lib.

καὶ ἐν Βατράχοις

ἐπὶ τὸν σταθμὸν γὰρ αὐτὸν ἀγαγεῖν βούλομαι (1365).

Περὶ δὲ Κρατίνου λέγομεν ὅτι οὐ διὰ τοῦτο εἶπεν ἐλήλυμεν· ἔστι γὰρ καὶ παρὰ Ἐπιχάρμῳ, οἷον αὐτὸς παρατίθεται ὁ μετρικός, ἥδε χρῆσις ἐν Κύκνῳ

τοιοῦδε φωτὸς πρὸς δόμους ἐλήλυμεν.

Οὐ κεῖται δ' οὕτως ἡ χρῆσις, ἀλλὰ

Κύκνου δὲ πρῶτοι πρὸς δόμους ἐλήλυμεν,

*καὶ οὕτως δεῖ γράφειν. *Ὅστις κατ' ἀναλογίαν ἐχρήσατο καὶ τῷ δευτέρῳ προσώπῳ ἐλήλυτε. Οὐκ ἄρα οὖν διὰ τὸ κοινὴν μὴ ποιεῖν τὸ θμ ὁ Κρατῖνος ἀπεβάλετο θ τοῦ ἐλήλυθμεν, εἰπὼν ἐλήλυμεν.* S.

28. *ἔστιν ἄκμων*] *Ἐν ταύτῃ γὰρ ὀφειλούσῃ βραχείᾳ εἶναι ἐπιφέρεται τὸ κμ· ἰδοῦ οὖν ἀφώνου ὄντος κ πρὸ τοῦ μ γίνεται κοινή. Οὐκοῦν οὐδὲν ἔβλαπτε καὶ εἰς τὸ ἐλήλυθμεν ἡ ἐπιφορὰ τοῦ ἀφώνου καὶ τοῦ μ.* SMTu.

29. *Τρίτος δέ ἐστι τρόπος*] *Γίνεται δὲ κοινὴ κατὰ τρίτον (τρόπον), ὅταν βραχεῖα ᾖ ἀπαρτίζουσα εἰς μέρος λόγου, καὶ οὐκ ἔχῃ δύο σύμφωνα ἐπιφερόμενα, ἀλλ' ἢ ἓν ἁπλοῦν ἢ μηδὲ ἕν. Ἐπεὶ εὑρεθήσεται θέσει μακρὰ γινομένη. Ἰστέον δὲ ὅτι οὐκ ἐχρησάμεθα ἡμεῖς ταύτῃ τῇ κοινῇ, ἀλλὰ μᾶλλον οἱ ποιηταί, οἷον τὸ*

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης (Ξ 1)

καὶ

Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε·

3 *παρὰ δὲ κρατύνου* lib. *ὅτι οὐ διὰ τοῦτο εἶπεν*] *οὐ* om. lib.Gaisf. 5 *ἥδε χρῆσις*] *ἥδη χρ.* lib. 14 *τὸ κμ* M, *κ καὶ μ* S, *τὸ μ*Tu 15 *τοῦ κ*] *καὶ* libb. 16 *ἐλήλυμεν* libb. 19 (*τρόπον*) o m. lib.Gaisf. *βραχεῖα ᾖ*] *βραχεῖά ἐστιν* libb.Gaisf.

καὶ

οἱ δὲ μέγα ἰάχοντες (Ξ 421)·

καὶ μὲν οἱ Λύκιοι τέμενος τάμον (Z. 194)·

καὶ μὲν σπονδεῖος ἐν ἀρχῇ στίχου. Ἔσχε δέ τι ἐξαίρετον αὕτη παρὰ τὰς ἄλλας χρῆσις ὅτι εἰς τέλος ἐστὶ ποδός, καὶ οὐκ εἰς ἀρχὴν ὡς αἱ προειρημέναι. S.

Περὶ δὲ ταύτης τῆς βραχείας τῆς ἀντὶ κοινῆς λαμβανομένης λέγει ὁ Ἡλιόδωρος δέκα τρόπους· (πρῶτος μὲν ...) ποτὲ δὴ καὶ πῶς εὑρίσκεται· φησὶ γὰρ οὕτως· „ἡ βραχεῖα ἡ τοιαύτη εἰς τόπον μακρᾶς κοινὴ εὑρίσκεται, ὅτε τὸ ι ἐπιφέρεται, ὡς ἐν τῷ

οἱ δὲ μέγα ἰάχοντες“ (Ξ 421).

Δεύτερος δὲ τρόπος, ὅταν ἡ ὀξεῖα ἐπίκειται αὐτῇ τῇ βραχείᾳ συλλαβῇ, οἷον

Τρῶες δ᾽ ἐρρίγησαν ὅπως ἴδον αἰόλον ὄφιν (M 208).

Διήρηται γὰρ ὁ τρόπος τῆς ὀξείας διαφόρως, ἢ προηγουμένης ἢ ἐπικειμένης, ὡς δέδεικται, ἢ ἐπιφερομένης· προηγουμένης μέν, ὡς τὸ

ἠὲ ναύτῃσι τέρας ἠὲ στρατῷ εὐρέϊ λαῶν (Δ 76)·

ἐπιφερομένης δὲ

ὃς ἤδη τά τ᾽ ἐόντα τά τ᾽ ἐσσόμενα πρό τ᾽ ἐόντα (A 70).

Τρίτος τρόπος ὁ ἀπὸ τῆς περισπωμένης ἐὰν ἐπιφέρηται, οἷον

ἕως ὃ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν. (A 193)

τὸ ε καὶ τὸ ως εἰς μίαν μακρὰν κατὰ συνίζησιν ποδίζεται, ὡς εὐθέως προϊόντες γνωσόμεθα. Ὁμοίως καὶ τὸ

4 σπονδεῖος ἐν ἀρχῇ] σπονδεῖον ἐ. ἀ. lib.Gaisf. 10 (πρῶτος μὲν ...) om. lib.Gaisf. 11 εἰς τόπον μακρᾶς] ἐ. τ. μακρὸν lib.G.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



ἐπιφερομένου τοῦ σ, ἀλλὰ καὶ λήγοντα ἐν τῇ λος συλλαβῇ. τοῦ δὲ τ ἐπιφερομένου

μήτε σὺ τόν γ' ἄρα δείδιθι.

Διπλασιάζεται δὲ οὕτως

ἔδδεισεν δ' ὁ γέρων καὶ ἐπείθετο μύθῳ
εἰωθότες ἔδμεναι ἄδδην,
ὁππότε τις μετὰ παυσώλην
ὁππότερος δὲ νικήσῃ κρείσσων γεγένηται.

Εὐλόγως δὲ ἡμεῖς τῇ μακρᾷ ἀντὶ βραχείας κεχρήμεθα ὡς περιεκτικῇ δύο βραχειῶν, οὐ μὴν δὲ τῇ βραχείᾳ ἀντὶ μακρᾶς ὡς οἱ ποιηταί κτλ. S.

ΣΧΟΛ. Β.

[Κεφ. α'.] Ὁ μὲν τεχνικὸς τρεῖς μόνους εἶπε τρόπους κοινῆς συλλαβῆς, ὡς πρὸς εἰσαγομένους τὸν λόγον ποιούμενος, οἱ δὲ εἶ(ναί φα)σι δυοκαίδεκα, δύο μὲν οἱ τὴν μακρὰν εἰς βραχεῖαν καταφέροντες, δέκα δὲ οἱ τὴν βραχεῖαν εἰς μακρὰν ἀναφέροντες. Καὶ ἔξεστι τούτοις τοῖς δέκα τρόποις κεχρῆσθαι (τοῖς παλαιοῖς)· ἡμῖν δὲ τῶν δέκα τρόπων ἑνὶ μόνῳ ἔξεστι κεχρῆσθαι, ὃν μετ' ὀλίγον ἐροῦμεν.

Καὶ (τῶν μὲν τριῶν) πρῶτός ἐστι τρόπος τῶν τὴν μακρὰν εἰς βραχεῖαν καταφερόντων, οὗτος

οὕτι μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσι (Γ 164).

Τρεῖς δὲ λέγει παραφυλακὰς ἔχειν· τὸ εἰς μέρος

15 εἶ(ναί φα)σι] εἶναι libb.G. 18 *Καὶ ἔξεστι* — 20 *μετ' ὀλίγον ἐροῦμεν* transiecimus; ante verba *Τρίτος τρόπος ὁ διὰ περισπωμένης* legitur in libb. et apud Gaisf. 19 (*τοῖς παλαιοῖς*) vel (*τοῖς ποιηταῖς*)] om. libb.Gaisf. 22 *Καὶ (τῶν μὲν τριῶν)*] *τ. μ. τρ.* om. libb.Gaisf.

λόγου καταλήγειν, τὸ εἰς φωνῆεν, καὶ τὸ τὴν ἐπιφερομένην λέξιν ἀπὸ φωνήεντος ἄρχεσθαι. Θάτερος δὲ τρόπος τῶν τὴν μακρὰν εἰς βραχεῖαν καταφερόντων ἐστίν, ὅταν δύο σύμφωνα ἐπιφέρηται ἐν συλλήψει, τὸ μὲν δεύτερον ἀμετάβολον, τὸ δὲ ἡγούμενον ἓν τῶν ἀφώνων, οἷον

Πάτροκλέ μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ.

Τρίτος τρόπος κοινῆς συλλαβῆς, ὅταν βραχεῖα οὖσα καταπεραιοῖ εἰς μέρος λόγου, καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην, οἷον

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης (Ξ 1).

καὶ πάλιν

οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον υἷες Ἀχαιῶν (Ξ 421).

Τούτων οὖν τῶν τριῶν τρόπων, ὁ μὲν φύσει, φαίνεται ἐν τῷ

οὔτι μοι αἰτίη ἐσσί·

ὁ δὲ θέσει, ἐν τῷ

Πάτροκλέ μοι δειλῇ.

ὁ δὲ βραχύς, ἐν τῷ

οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον.

Σημείωσαι δὲ ὅτι κἂν τὴν ἑξῆς ἔχῃ ἀπὸ συμφώνου ἀρχομένην, λήγῃ δὲ ἡ πρώτη εἰς φωνῆεν, κοινὴν ποιεῖ συλλαβήν, οἷον

ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται (ι 109).

Τῶν δὲ τὴν βραχεῖαν εἰς μακρὰν ἀναφερόντων πρῶτος οὗτος τρόπος, ὅταν βραχεῖα οὖσα καταπεραιοῖ εἰς μέρος λόγου καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ φω-

25 Ἄλλως monente Pauwio praeposuit Gaisf. Reiecimus.

νήεντος ἀρχομένην, οὐ τοῦ τυχόντος φωνήεντος ἀρχομένου, ἀλλὰ τοῦ ι, ὡς ἐν τῷ

οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον υἷες Ἀχαιῶν (Ξ 421)

καὶ

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης (Ξ 1).

Δεύτερος δὲ τρόπος τῶν τὴν βραχεῖαν εἰς μακρὰν ἀναφερόντων ὁ διὰ τῆς ὀξείας. Αὕτη οὖν ἡ ὀξεῖα ἐπικειμένη τινὶ τῶν βραχειῶν ἢ βραχυνομένων διχρόνων μηκύνει, ὡς ἐπὶ τοῦ

Τρῶες δ' ἐρρίγησαν ἐπεὶ ἴδον αἰόλον ὄφιν (Μ 208).

Ἰδού ὁ τελευταῖος ποὺς πυρρίχιος μὲν ὑπάρχει· ἐπειδὴ δὲ τὴν ὀξεῖαν ἔχει ἐπικειμένην ἐπὶ τὸ ο, ἀντὶ τροπῆς παρείληπται τῆς ὀξείας μηκυνούσης τὸ ο, καὶ οὐκ ἀκαίρως· δοκεῖ γὰρ ἡ ὀξεῖα ἀνατεινομένῃ τῇ τε φωνῇ καὶ αὐτῇ τῇ θέσει καὶ διατυπώσει τοῦ χαρακτῆρος ἑαυτῆς τὴν βραχεῖαν ἀνακαλεῖσθαι εἰς ἑτέραν τάξιν. Ἡ οὖν ὀξεῖα τοιαύτην ἔχει φύσιν καὶ δύναμιν, ὡς μὴ μόνον ἐπικειμένη ἐπάνω βραχείας μηκύνειν αὐτήν, ἀλλὰ καὶ προκειμένη καὶ μετακειμένη δύνασθαι τῇ βραχείᾳ χρόνον χαριεῖσθαι, ὡς ἐπὶ τοῦ

ἢ ναύτῃσι τέρας (Δ 76)

ἡ ρας συλλαβή, βραχεῖα οὖσα, διὰ τῆς προκειμένης ὀξείας ἐμηκύνθη· μετακειμένη δέ, ὡς ἐπὶ τούτου

τοῦ ἔπους

αἴσιμα παρειπών· ὁ δ' ἀπὸ ἕθεν ὥσατο χειρί (Ζ 62)

τὴν πο βραχεῖαν οὖσαν ἡ ὀξεῖα τοῦ ἕθεν ἐμήκυνεν· ὅθεν ὁ στίχος δοκῶν πάθος ἔχειν τὸ λεγόμενον λα-

8 βραχειῶν] βραχέων libb.Gaisf. 27 *τὴν πο βραχεῖαν* Pauw] *ἀπὸ βραχείας* libb.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

προκειμένη, τὴν βραχεῖαν εἰς μακρὰν ἀνάγει· ἐπικειμένη μέν, ὡς ἐπὶ τοῦ

ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν (*A* 193).

προκεφάλου γὰρ ὄντος τοῦ στίχου, τὸ μὲν ε ἐν ἀρχῇ οὐ μετρεῖται· τὸ δὲ ὡς ο ἀντὶ σπονδείου παραλαμβάνεται, τῆς δευτέρας συλλαβῆς τὸ ο μόνον ἐχούσης, καὶ μὴ ἐπιφερομένων δύο συμφώνων· ἀλλ' ἡ δασεῖα ἐπικειμένη ἐμήκυνεν αὐτὴν τῷ πνεύματι, καὶ τῇ διαστάσει τῶν φωνητικῶν ὀργάνων, τῶν μᾶλλον διατεινομένων ἐν τῇ προφορᾷ τοῦ πλείονος πνεύματος· προκειμένη δέ, ὡς ἐπὶ τοῦ παρόντος τουτουὶ στίχου

ἔλπομαι ἐκτελέεσθαι, ἵνα μὴ ῥέξομεν ὧδε (*H* 353)·

τοῦ γὰρ ἵνα τὴν να συλλαβὴν βραχεῖαν οὖσαν η ἐπὶ τοῦ ι δασεῖα προκειμένη ἐμήκυνεν. Ἀλλ' εἴποι τις ὅτι τὸ μη ἐπιφερόμενον ἐμήκυνε τὴν να συλλαβήν.

. . . . . .

Εἰς κεφ. β'. Περὶ συνεκφωνήσεως

ΣΧΟΛ. Α.

1. *Συνεκφώνησις*] Ἡ συνεκφώνησις ἀναγκαῖόν ἐστι μάθημα καὶ πάνυ μετρικοῖς ἁρμοδιώτατον· πολλοὶ γὰρ λελυμάνθαι δοκοῦντες στίχοι καὶ ἄμετρον ἔχοντες τὴν σύνθεσιν διὰ τῆς συνεκφωνήσεως τὸν τῆς μετροποιίας κόσμον ἀπολαμβάνουσι· τοῦ γὰρ

18 In fine scholii lacunam indicavimus. 26 τοῦ γὰρ] τὸ γὰρ libb.Gaisf.

ὑμῖν μὲν θεοὶ δοῖεν Ὀλύμπια δώματ' ἔχοντες,

εἰ κοινήν τις λάβοι (τὴν οι συλλαβήν), μέγιστον ποιήσει ἐναντίωμα τοῖς προειρημένοις. Φαμὲν γὰρ κόσμον εἶναι κοινῆς, εἰ εἰς φωνῆεν λήγει, καὶ τὴν ἑξῆς ἔχει ἀπὸ φωνήεντος ἀρχομένην. Ἐνταῦθα δὲ κατὰ τὸν δεύτερον πόδα τῇ οι συλλαβῇ τὸ δοι ἐπιφερόμενον σκάζειν ποιεῖ τὸν στίχον, εἰ μὴ τῷ τῆς συνεκφωνήσεως θεραπευθείη λόγῳ. Συνεκφωνῶ γὰρ τὸ ε, καὶ γίνεται σπονδεῖος μὲν θεοί. Αὕτη ἡ συνεκφώνησις καλεῖται καὶ συνίζησις.- Τούτων δὲ τετύχηκε τῶν ὀνομάτων, ὅτι ἡ φωνὴ ὑποθλίβουσα καὶ ὑποκλέπτουσά τι τῶν φωνηέντων τὰς κακομετρίας ἀφαιρεῖ τῶν στίχων· ὅταν γὰρ φωνηέντων γίνηται ἀλλεπάλληλος φορά, συνεκφώνησις γινομένη, καὶ ἐφιζάνειν ἀλλήλοις ποιοῦσα τὰ φωνήεντα, τὰς δύο συλλαβὰς εἰς μίαν συναιρεῖ, οἷον ἐπὶ τοῦ προκειμένου παραδείγματος τὸ θεοί, δισύλλαβον ὑποκλέψασα διὰ τὴν χρείαν ἡ συνεκφώνησις, τὸ μὲν ε συνεξέθλιψε, τὸ δὲ οι προενεγκοῦσα, μονοσύλλαβον ἀντὶ δισυλλάβου πεποίηκε τοὔνομα, καὶ γέγονε θοι τρόπον τινά. (Καὶ τὸν τρόπον τοῦτον προσλαμβάνει ὡς συμβαλλόμενον αὐτῷ εἰς τὸν περὶ τῶν ποδῶν λόγον. Ἰστέον δὲ ὅτι πάνυ πολλὴ βοήθεια ἐπενοήθη τῷ μέτρῳ παρὰ τοῖς παλαιοῖς. S.) Διαφέρει δὲ συνεκφώνησις συναλοιφῆς (τούτοις· ἑνὶ μέν, ὅτι ἡ συναλοιφὴ κατὰ τρόπους ἑπτὰ γίνεται, ἁπλοῦς μὲν τρεῖς· ἔκθλιψιν, οἷον, μετὰ ἐμοῦ

2 κοινὴν M, κοινὸν Tu (τὴν οι συλλαβήν) om. libb.Gaisf. 4 ὅταν λήγῃ S 5 Ἐνταῦθα δὲ κατὰ] κατὰ om. MS 6 τῇ οι συλλαβῇ] τῆς οι συλλαβῆς MS τὸ δοι] τὸν δὲ S 8 Συνεκφωνῶ] συνεκφώνησις S 9 ὑμῖν μὲν θεοὶ MS 10 Τούτων] πάντως Tu 13 φωνηέντων γένηται S 15 ὑφιζάνειν Tu 19 προσενεγκοῦσα MTu 25 συναλιφῆς S

μετ' ἐμοῦ· κρᾶσιν, οἷον, τὰ ἐμὰ τἀμά· συναίρεσιν, οἷον, Νηρηΐδες Νηρῇδες· συνθέτους δὲ τέσσαρας, οἷον, ἔκθλιψιν καὶ κρᾶσιν, οἷον, ἐγὼ κἀγώ· ἔκθλιψιν καὶ συναίρεσιν, ὡς τὸ (οἱ) αἰπόλοι ᾽ωπόλοι· κρᾶσιν καὶ συναίρεσιν, οἷον, ἐμοὶ ὑποδύνει ἔμ' ὑποδύνει· ἔκθλιψιν κρᾶσιν καὶ συναίρεσιν, ὡς παρ' Εὐπόλιδι ἐν Χρυσῷ Γένει, καὶ σκεῦος οὐδὲν εὗρον ἐν τῷκήματι. Ἡ μὲν οὖν συναλοιφὴ κατὰ τούτους τοὺς τρόπους, ἡ δὲ συνίζησις οὔ. Καὶ μία μὲν αὕτη διαφορά. MS.) Κλοπὴ γάρ ἐστι χρόνων αὕτη, γραμμάτων κλοπῆς οὔσης τῆς συναλοιφῆς. Ἔτι ἡ μὲν συναλοιφὴ ὡς γράφεται καὶ βαίνεται, οἷον, ὡς ἔφαθ'· οἱ δ' ἄρα· οὐ γὰρ ὁλοκλήρως βαίνομεν, οἷον, ὡς ἔφατο, ἀλλὰ ὡς γράφεται, ἔφαθ'· ἡ δὲ συνεκφώνησις ὁλοκλήρως μὲν γράφεται, βαίνεται δὲ ἐλλιπῶς, οἷον

χρυσέῳ ἀνὰ σκήπτρῳ, χρυσῷ ἀνὰ σκήπτρῳ.

Κοινὸν δὲ ἑκατέρας τὸ παρατηρεῖν, μὴ σύμφωνον ᾖ μεταξύ. Ἡφαιστίων δὲ προλαμβάνει καὶ τὸν λόγον τὸν περὶ συνεκφωνήσεως, ὡς συμβαλλόμενον αὐτῷ εἰς τὸν περὶ τῶν ποδῶν λόγον. (Ἰστέον δέ, ὡς πάνυ πολλὴ βοήθεια ἐπενοήθη τοῖς μέτροις παρὰ τῶν παλαιῶν. Διαφέρει κρᾶσις συναιρέσεως, ὅτι ἡ μὲν συναίρεσις ἐλαττοῖ τὰ φωνήεντα, ἡ δὲ κρᾶσις οὔ. M.)

2. Ἐν τῇ Ἰλιάδι] Ἰλιάδα ἔγραψε Σωτάδης μεταθεὶς τὰ τοῦ ποιητοῦ εἰς ἴδιον μέτρον. Ἔστιν οὖν τὸ παράδειγμα Ἰωνικὸν ἀπὸ μείζονος· καὶ γὰρ ἡ

4 (οἱ) αἰπόλοι] οἱ om. libb.Gaisf. 11 κλοπῆς om. Tu 12 ἔτι M, ὅτι TuGaisf. 13 βαίνεται] φαίνεται M 18 ἑκατέρας Tu, ἑκατέρα S, ἑκατέρου M 21 Ἰστέον οὖν ὡς ὁ Ἡφαιστίων προλαμβάνει M

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



ὄντα, εἰς μίαν συλλαβὴν μακρὰν καταλογίζονται. Δύο δὲ βραχειῶν εἰς μίαν μακράν, ὡς ἐν τῷ

Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα

(Γ 237)

τῆς κε καὶ α συλλαβῆς, καὶ ἀμφοτέρων βραχειῶν οὐσῶν, εἰς μίαν μακρὰν συναιρουμένων. Τοῦτο δέ τινες οὔ φασιν εἶναι συνίζησιν, ἀλλὰ διάλυσιν τῆς τελευταίας τοῦ σπονδείου μακρᾶς. Ἢ τῶν αὐτῶν εἰς μίαν βραχεῖαν, ὡς ἐν τῷ

ἀλλὰ τεὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν·

ἐνταῦθα γὰρ ἡ τε καὶ ου συλλαβὴ εἰς μίαν βραχεῖαν συνιζάνονται· τινὲς δὲ μᾶλλον τὴν ου καὶ ου εἰς μίαν μακρὰν συλλαμβάνουσι. Βραχείας δὲ καὶ μακρᾶς εἰς μίαν μακράν, ὡς ἔχει τε ἡ ἄνω χρῆσις, καὶ ἐν τῷ

ὑμέων οἵπερ ἔασι (Η 159)

τῆς με καὶ ων εἰς μίαν μακρὰν συναιρουμένης. Καὶ τῶν αὐτῶν εἰς μίαν βραχεῖαν, ὡς ἐν τῷ

δενδρέῳ ἐφεζόμενοι (Γ 152)·

τῆς ε καὶ ω εἰς μίαν βραχεῖαν. Μακρᾶς δὲ καὶ βραχείας εἰς μίαν μακράν, ὡς ἐν τῷ

δαέρων ἢ γαλόων (Ω 769)·

τῆς δα καὶ ε εἰς μίαν μακράν. Ὅτι δὲ τὸ δα μακρόν ἐστι, δῆλόν ἐστιν ἐκ τοῦ

δαὴρ αὖτ' ἐμὸς (Γ 180)

καὶ

αὐτοκασίγνητον καὶ δαέρα (Ξ 156).

Ἢ τῶν αὐτῶν εἰς μίαν βραχεῖαν, ὡς ἐν τῷ

δενδρέῳ ἐφεζόμενοι,

δύναται γὰρ καὶ οὕτω γενέσθαι συνίζησις τοῦ ω

καὶ ε εἰς μίαν βραχεῖαν. Ἐν τούτῳ δέ τινες τὸ ω κοινὴν συλλαβὴν ποιοῦσι πρότερον, ἵνα δύο βραχείας εἰς μίαν μακρὰν συναιρήσωσι.

Διαφέρει δὲ συναλοιφὴ συνεκφωνήσεως, ἤγουν συνιζήσεως· ἡ μὲν γὰρ συναλοιφὴ ὡς γράφεται οὕτω καὶ ἐκφωνεῖται· ἡ δὲ συνίζησις οὐχ ὡς γράφεται ἐκφωνεῖται, ἀλλ' ἐν τῷ βαίνειν τὰς δύο συλλαβὰς ὁμοῦ ὑπὲρ τῆς τοῦ μέτρου θεραπείας συνεκφωνεῖ· διὸ καὶ συνίζησις λέγεται· συνιζάνειν γὰρ λέγεται τὸ ἔκ τινος μείζονος εἰς ἔλαττον συμπίπτειν. Εἴρηται δὲ ἐκ μεταφορᾶς τοῦ περὶ τοὺς καθεζομένους συμβαίνοντος, ἐπειδὴ οὗτοι καθεσθέντες συστέλλουσι τὸ μέγεθος αὐτῶν. (Ὁ δὲ Ἡλιόδωρός φησιν ἐν τῇ εἰσαγωγῇ ὅτι καὶ τρεῖς εἰς μίαν συνεκφωνοῦνται συλλαβαί, ὡς τὸ διπενθημιμερὲς τοῦτο, οἱονεὶ τὸ δοκοῦν εἶναι ἐλεγεῖον

Ἀστερὶς οὔτε σ' ἐγὼ φιλέω, οὔτ' ἀπηλλής.

Οὐ γάρ ἐστιν ἐλεγεῖον, ἀλλὰ τὸ πρῶτον αὐτοῦ μέρος ἐστὶ δακτυλικόν, τὸ δὲ δεύτερον ἰαμβικόν· δύο γὰρ ἰάμβους ἔχει καὶ συλλαβήν. Τὸ οὖν φιλέω οὔτ' ἀπὸ δύο βραχέων καὶ μιᾶς μακρᾶς. S.)

Εἰς κεφ. γ'. Περὶ ποδῶν

ΣΧΟΛ. Α.

1. Ἐκ τῶν συλλαβῶν] Ἐνταῦθα περὶ τῶν ποδῶν βούλεται διαλαμβάνειν ποῖοι καὶ πόσοι εἰσί·

8 συνεκφωνεῖ B 72. 115, συνεκφωνεῖται Gaisf.

καὶ ἀναγκαῖόν ἐστιν ἡμᾶς πρότερον τοῦτο αὐτὸ γνῶναι, τί ἐστι πούς. Ποὺς τοίνυν ἐστὶ σύνθεσις συλλαβῶν ἄρσιν ἢ θέσιν περιέχουσα. Καὶ ἄλλως: πούς ἐστι μετρικὴ συλλαβῶν θέσις ἀπὸ δύο ἕως ἓξ, ἐξ ὧν γνωρίζομεν τὸ τοῦ μέτρου εἶδός τε καὶ μέγεθος. Βάσις δέ ἐστι τὸ ἐκ δύο ποδῶν συνεστηκός, τοῦ μὲν ἄρσει τοῦ δὲ θέσει παραλαμβανομένου· ἢ οὕτως· βάσις ἐστὶν ἡ ἐκ ποδὸς καὶ καταλήξεως τουτέστι μιᾶς συλλαβῆς ποδὶ ἰσουμένης· γνωρίζεται δὲ ὁ μὲν ποὺς ταῖς συλλαβαῖς, τὰ δὲ μέτρα τοῖς ποσὶν ἢ ταῖς βάσεσι. Μέτρον δέ ἐστι ποδῶν ὡρισμένων ποιὰ σύνθεσις κατὰ τὴν φυσικὴν συμμετρίαν πῶς ὑπὸ τῶν τοῦ λόγου μερῶν ἀφωρισμένη. S.

2. οἱ πόδες] Πούς ἐστι ποιῶν ἢ ποσῶν σύνθεσις συλλαβῶν πρὸς εὐπρέπειαν. Εἰλήφασι δὲ τὴν ὀνομασίαν οἱ πόδες ἀπὸ ῥυθμῶν ἢ συνθέσεων ἢ πόλεων χρησαμένων. Τὰ δὲ μέτρα ἀπὸ ποδῶν τινῶν εἰσί, τῶν ἐχόντων ἢ ἴσον λόγον ἢ διπλασίονα ἢ ἡμιόλιον. Καὶ τοῦ μὲν ἴσου εἴη ἂν δάκτυλος· μία γὰρ μακρὰ καὶ δύο βραχεῖαι τὸν αὐτὸν ἔχουσι λόγον. Τοῦ δὲ διπλασίονος τροχαῖος· ἡ μακρὰ γὰρ τῆς βραχείας διπλασίων. Τοῦ δὲ ἡμιολίου βακχεῖος· βραχεῖα γὰρ καὶ μακρὰ πρὸς τὴν μακρὰν λόγον ἔχει τὸν ἡμιόλιον· τρεῖς δὲ παραυξήσεις ἔχουσιν οἱ δισύλλαβοι ἀπὸ διχρονίας μέχρι τετραχρονίας. SMTu.

Ὠνομάσθησαν ἀπὸ ῥυθμῶν ἢ ἐθνῶν ἢ συνθέσεων ἢ ἀριθμῶν. S.

3. πυρρίχιος] Ἰστέον δὲ ὅτι ὁ πυρρίχιος καὶ παρ-

16 εὐτρέπειαν Tu 17 ἀπὸ ῥυθμοῦ Tu 23 διπλασίων] διπλάσιος S 29 Ἰστέον δὲ ὅτι add. M

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

νων τέσσαρα μέτρα γίνεται, τά τε ἰωνικὰ καὶ τὸ χοριαμβικὸν καὶ τὸ ἀντισπαστικόν, ἅπερ καλεῖται ἐπιπλοκὴ τετραδικὴ ἑξάσημος. Ἓν γὰρ μέτρον τὸ ἰωνικὸν ἀπὸ μείζονος, τῆς κατ' ἀρχὴν συλλαβῆς λαμβανομένης, γίνεται τὸ λοιπὸν χοριαμβικόν· καὶ τῆς δευτέρας λαμβανομένης γίνεται τὸ ἀπ' ἐλάσσονος ἰωνικόν· καὶ τῆς τρίτης λαμβανομένης τὸ ἀντισπαστικὸν γίνεται. Καὶ οὗτοι μὲν οὕτως. Ὁ δὲ ἴαμβος γιγνόμενος μετὰ τῶν χοριαμβικῶν καὶ ἀντισπαστικῶν τὸ ἐπίμικτον ποιεῖ· ὁ δὲ τροχαῖος μετὰ τῶν ἰωνικῶν ποιεῖ τὸ ἐπίμικτον μέτρον.

9. *Ἐπίτριτος δὲ λέγεται ὡς ἀριθμοῦ τινὰ ἔχων ἀναλογίαν. Τετρασύλλαβος γὰρ ὤν, ἀπὸ βραχείας καὶ τριῶν μακρῶν, διαιρεῖται εἰς τέσσαρα καὶ τρία. Ἔχουσι γοῦν χρόνους αἱ δύο μακραὶ τέσσαρας, ἡ μακρὰ δὲ καὶ ἡ βραχεῖα χρόνους γ', καὶ ἐντεῦθεν συνάγεται ὁ ἐπίτριτος.* Da. *Ἐπίτριτος*] *Ἐπίτριτος ἀριθμὸς λέγεται, ὁ ἀριθμόν τινα ἔχων ἐν ἑαυτῷ καὶ τὸ τρίτον τούτου, οἷον ὁ τέσσαρα πρὸς τὸν τρία· ὅθεν καὶ ἐπίτριτοι πόδες.* SMTu.

10. *Σπονδιακὴ δ' οὐκ ἔστι συζυγία.* S.

ΣΧΟΛ. Β.

[*Κεφ. γ'. Περὶ ποδῶν.*] *Πούς ἐστι ποιῶν καὶ ποσῶν συλλαβῶν σύνθεσις εἰς εὐπρεπὲς σχῆμα· ποιῶν μέν, ὅτι δεῖ τὰς μὲν μακρὰς εἶναι, τὰς δὲ βραχείας· ποσῶν δέ, ὅτι δεῖ δύο εἶναι ἢ πλείους· εἰς εὐπρεπὲς δὲ σχῆμα, ὡς ὅταν εἴπωμεν τὰς συλλαβὰς ἢ καθ' ἑαυτὰς συντίθεσθαι ἀλλήλαις, ἢ τῆς μακρᾶς λυομένης εἰς δύο βραχείας. Τινὲς δὲ οὔ-*

1 *μέτρα γίνονται* MS

τως ὡρίσαντο· πούς ἐστι τάξις συλλαβῶν ἄρσιν ἢ θέσιν περιέχουσα. Οἱ δὲ οὕτως· πούς ἐστι μετρικὴ συλλαβῶν σχέσις ἀπὸ δύο ἕως τεσσάρων ἢ πέντε, ἐν αἷς γνωρίζομεν τὸ τοῦ μέτρου εἶδός τε καὶ μέγεθος. Ὕλη δὲ ποδῶν συλλαβαὶ ἐν ποσότητί τε καὶ ποιότητι εὐπρεπῶς κινούμεναι· αἱ γὰρ δύο συλλαβαί, βραχεῖά τε καὶ μακρά, ἀλλήλαις συμπλεκόμεναι, τοὺς τετρασυλλάβους ἀποτελοῦσι. Πᾶν γὰρ διφυὲς ἑτέρῳ διφυεῖ συμπλεκόμενον τέσσαρα σχήματα ἀποτελεῖ, ὡς ἐν τῷ περὶ ὀνομάτων-ἐἴπομεν· καὶ ἡ ἀριθμητικὴ δὲ δυὰς ἐπὶ τὴν δυάδα πολλαπλασιαζομένη τὸν δ' ποιεῖ. Εἰσὶν οὖν οἱ δισύλλαβοι ἁπλοῖ πόδες τέσσαρες ἐκ τῆς τῶν δύο συλλαβῶν, τῆς μακρᾶς τε καὶ βραχείας, συμπλοκῆς ἀποτελούμενοι· μετ' αὐτοὺς δέ εἰσιν οἱ τρισύλλαβοι, ἁπλοῖ καὶ αὐτοὶ ὄντες, εἰς ὀκτὼ δὲ τοὺς πάντας ἀπαρτιζόμενοι. Καὶ ἁπλοῖ μέν εἰσιν ὅτι οὐκ ἐκ συνθέσεως τῶν δισυλλάβων γίνονται, ἀλλὰ συλλαβῶν προστιθεμένων αὐτοῖς. Ἐπεὶ οὖν δύο εἰσὶν αἱ συλλαβαί, μακρὰ καὶ βραχεῖα, προστιθέμεναι τοῖς δ' δισυλλάβοις, τοὺς ὀκτὼ τρισυλλάβους ποιοῦσι· δὶς γὰρ τὰ δ' ὀκτώ. Ἐκκειμένων γὰρ τῶν τεσσάρων δισυλλάβων τοῦ τε πυρριχίου (καὶ) τοῦ ἰάμβου (καὶ) τοῦ τροχαίου καὶ τοῦ σπονδείου, ἑκατέρα τῶν δύο συλλαβῶν, τῆς μακρᾶς τε καὶ τῆς βραχείας, ἑκάστῳ προσιοῦσα δύο πόδας ποιεῖ. Καὶ γοῦν ἡ μὲν βραχεῖα τῷ πυρριχίῳ προσιοῦσα τὸν τρίβραχυν ἤγουν τὸν χορεῖον ποιεῖ· ἡ δὲ μακρὰ τὸν δάκτυλον· τῷ δὲ ἰάμβῳ ἡ μὲν βραχεῖα τὸν ἀνάπαιστον, ἡ δὲ μα-

9 διφυεῖ TuDrac, συμφυεῖ libb. 22 γὰρ τῶν τεσσάρων δισυλλάβων] γὰρ τῶν δ' συλλαβῶν Fl, τῶν δισυλλαβῶν Tu, τῶν τεσσαρῶν rell.

κρὰ τὸν ἀμφίμακρον· τῷ δὲ τροχαίῳ ἡ μὲν βραχεῖα τὸν ἀμφίβραχυν, ἡ δὲ μακρὰ τὸν παλιμβάκχειον· τῷ δὲ σπονδείῳ ἡ μὲν βραχεῖα τὸν βακχεῖον, ἡ δὲ μακρὰ τὸν μολοσσόν. Οἱ δὲ τετρασύλλαβοι ἐκ συνθέσεως τελείων τῶν τεσσάρων δισυλλάβων γίνονται, διὸ καὶ ἑκκαίδεκά εἰσι· τετράκις γὰρ τὰ δ' δεκαέξ. Καὶ γὰρ ὁ πυρρίχιος ἐφ' ἑαυτὸν συντιθέμενος τὸν προκελευσματικὸν ποιεῖ· ἐπὶ τὸν ἴαμβον δέ, τὸν τέταρτον παίωνα· ἐπὶ δὲ τὸν τροχαῖον, τὸν τρίτον παίωνα· ἐπὶ δὲ τὸν σπονδεῖον, τὸν ἰωνικὸν ἀπ' ἐλάσσονος. Ὁ δὲ ἴαμβος ἐπὶ μὲν τὸν πυρρίχιον, τὸν δεύτερον παίωνα· ἐπὶ δὲ τὸν τροχαῖον, τὸν ἀντίσπαστον· ἐφ' ἑαυτὸν δέ, τὸν διίαμβον· ἐπὶ δὲ τὸν σπονδεῖον, τὸν πρῶτον ἐπίτριτον. Ὁ δὲ τροχαῖος ἐπὶ μὲν τὸν πυρρίχιον, τὸν πρῶτον παίωνα ποιεῖ· ἐπὶ δὲ τὸν ἴαμβον, τὸν χορίαμβον· ἐφ' ἑαυτὸν δέ, τὸν διτρόχαιον· ἐπὶ δὲ τὸν σπονδεῖον, τὸν δεύτερον ἐπίτριτον. Ὁ δὲ σπονδεῖος ἐπὶ μὲν τὸν πυρρίχιον, τὸν ἰωνικὸν ἀπὸ μείζονος· ἐπὶ δὲ τὸν ἴαμβον, τὸν τρίτον ἐπίτριτον· ἐπὶ δὲ τὸν τροχαῖον, τὸν τέταρτον ἐπίτριτον· ἐφ' ἑαυτὸν δέ, τὸν δισπόνδειον. Ὅτι δὲ ἕκαστος τούτων σύνθετός ἐστιν ἐκ δύο ποδῶν δισυλλάβων, δῆλον ἐκ τοῦ λέγεσθαι ἕκαστον αὐτῶν καὶ διποδίαν ἢ καὶ συζυγίαν.

Ποσοῦνται τοίνυν οὗτοι, οἵ τε δισύλλαβοι τέσσαρες, οἱ τρισύλλαβοι ὀκτώ, καὶ οἱ τετρασύλλαβοι ἑκκαίδεκα, εἰς εἴκοσι ὀκτώ. Καὶ μέχρι μὲν οὖν τούτων οἱ ἀκριβέστεροι τῶν μετρικῶν ἵστωσι τοὺς πόδας· καὶ εἴ που δὲ εὑρεθῇ πεντασύλλαβος πούς, λυομένης, φασί, τῆς ἔν τινι τετρασυλλάβῳ ποδὶ

25 τοίνυν οὗτοι] τ. οὕτως Tu 30 τετρασυλλάβῳ ποδὶ] τετρασυλλάβου ποδίας FlB72Drac, τετρασυλλάβου διποδίας B115

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



τρισυλλάβους ἐφ' ἑαυτοὺς πολυπλασιάζοντες, ἤγουν δωδεκάκις δώδεκα ποιοῦντες, ρμδ΄ ποιοῦσι. Καὶ πῶς ἂν λυθείη ἡ δοκοῦσα ἐν τούτοις διαφωνία; ὅτι κατὰ μὲν τὴν προτέραν μέθοδον, καθ' ἣν οἱ τετρασύλλαβοι ἐκ προσλήψεως ἑκατέρας τῶν δύο συλλαβῶν τοὺς πεντασυλλάβους ποιοῦσι, λβ΄ εἰσὶν οἱ πενταςύλλαβοι· κατὰ δὲ τὴν δευτέραν μέθοδον τὴν ἐκ δισυλλάβων καὶ τρισυλλάβων συντιθεῖσαν αὐτούς, ἢ ἐκ τρισυλλάβων καὶ δισυλλάβων, ξδ΄ γίνονται. Πολυπλασιαζόμενοι γὰρ οἱ δισύλλαβοι ἐπὶ τοὺς ὀκτὼ τρισυλλάβους, λβ΄, καὶ πάλιν οἱ ὀκτὼ τρισύλλαβοι ἐπὶ τοὺς τέσσαρας δισυλλάβους, ἄλλους λβ΄, καὶ ὁμοῦ ξδ΄. ις΄ οὖν τετρασύλλαβοι, καὶ ξδ΄ πενταςύλλαβοι (καὶ ξδ΄ ἑξασύλλαβοι) ρμδ΄ ποιοῦσι τοὺς συνθέτους τῶν ἁπλῶν. Δῆλον τοῦτ' ἔστι τῶν τεσσάρων δισυλλάβων καὶ τῶν ὀκτὼ τρισυλλάβων μὴ συναριθμουμένων αὐτοῖς· εἰ γὰρ συναριθμηθεῖεν καὶ οὗτοι αὐτοῖς, ρνς΄ ἔσονται οἱ πάντες.

Τὸ δὲ τὰ τοιαῦτα τῶν συλλαβῶν ὀνόματα πόδας ὀνομάζεσθαι μεταφορικῶς εἴληπται ἀπὸ τῶν ἐν τοῖς ζῴοις ποδῶν, δι' ὧν ποιοῦνται τὴν κίνησιν. Ὥσπερ γὰρ οἱ τῶν ζῴων πόδες ἀλλήλοις ἀντικείμενοι τὴν πορείαν ἐργάζονται, οὕτω καὶ οἱ μετρικοὶ πόδες ἀλλήλοις ἀντιταττόμενοι τὴν ὁδὸν τοῦ λόγου σχηματίζουσι, καὶ τὴν αὐτοῦ κίνησιν εὔρυθμόν τε καὶ ἐναρμόνιον ἀποτελοῦσι. Λέγεται δὲ τὸ τοῦ ποδὸς ὄνομα καὶ ἐπὶ πολλῶν ἄλλων. Λέγομεν γὰρ τραπέζης πόδας, καὶ ἐπὶ πηδαλίου νηός, καὶ τοῦ ἀρμένου δὲ ὀξύτερον μέρος τὸ πρὸς τῇ νηὶ πούς

1 πολλαπλασιάζοντες Tu, πολυπλασιάζοντες Fl... 4 προτέραν B1.2, α΄ Fl, πρώτην Tu 14 (καὶ ξδ΄ ἑξασύλλαβοι) add. Pauw 26 ἀποτελοῦσι B, om. FlTu

κέκληται. Ἕκαστος μέντοι τῶν τοιούτων ποδῶν ἰδίου τετύχηκεν ὀνόματος, ἢ ἀπὸ ῥυθμῶν ἢ ἐθνῶν ἢ συνθέσεων τῶν ἐξ ἀλλήλων, ἢ ἀριθμῶν, περὶ ὧν ἐφ' ἑκάστῳ δηλώσομεν.

Ἔστιν οὖν πρῶτος ὁ πυρρίχιος ἐκ δύο βραχειῶν συγκείμενος. Ἐκλήθη δὲ οὕτως, ὅτι βραχύτατός ἐστι, καὶ ὀξεῖαν ποιεῖται τὴν κίνησιν τῶν χρόνων, ὥσπερ καὶ ἡ καλουμένη πυρρίχη, ἐνόπλιος ὄρχησις οὖσα· Ἄλλοι δὲ ἀπὸ τοῦ Πύρρου παρωνομάσθαι φασί· πρώτῳ γὰρ τούτῳ ἐκ τοῦ Δουρίου ἵππου πηδήσαντι ἐπινίκιον ὕμνον συνέθεντο τοιοῦτον ἔχοντα μέτρον. Καλεῖται δὲ παρά τισι καὶ παρίαμβος, ἐπεὶ παρὰ τὰ τέλη τῶν ἰαμβείων μέτρων εὑρίσκεται· ἢ ὅτι πυρρίχιος καὶ ἴαμβος παρά τι ὅμοιοί εἰσι, περὶ τὴν ἐσχάτην συλλαβὴν διαλλάσσοντες, ἥτις ἐστὶν ἀδιάφορος ἐπὶ παντὸς μέτρου. Ἄλλοι δὲ καὶ Ἡγεμόνα φασὶν αὐτόν, ἐπεὶ ἐξ αὐτοῦ οἱ ἄλλοι πόδες· οὗτος δὲ κατὰ πόδα μὲν οὐ βαίνεται, διὰ τὸ κατάπυκνον γίνεσθαι τὴν βάσιν, καὶ συγχεῖσθαι τὴν αἴσθησιν· κατὰ διποδίαν δὲ συντιθέμενος, καὶ τὸν προκελευσματικὸν ποιῶν, τὰ καλούμενα προκελευσματικὰ ἢ πυρριχιακὰ μέτρα ποιεῖ, ὧν παραδείγματα

ἴθι μόλε ταχύποδος ἐπὶ δέμας ἐλάφου,
πτεροφόρα χερὸς (ἄπο) καθιέμενα (βέλη)

ὁ προκελευσματικός.

2 ἐθνῶν Pauw, ἐθῶν libb. 5 δύο Tu, om. Fl... 10 πρώτῳ γὰρ τούτῳ] πρώτῳ γὰρ Πύρρῳ B2 15 διαλλάσσοντες B1.2, διαλλάσσονες FlTu 18 κατάπυκνον — 19 συγχεῖσθαι Tu, κατάπυκτον — συγκεῖσθαι Fl... 22 πυρριχιακὰ Tu, πυρριακὰ Fl... 23 ἐπὶ δέμας frg. Ambrosian. de pedibus, ἐπίδεσμα vel ἐπὶ δέσμα libb. 24 πτεροφόρα] πτεροφόρον libb. Gaisf. χερὸς] χερσὸν libb.Gaisf. καθιέμενα] καθημένα libb.Gaisf. (ἄπο) et (βέλη) om. libb.Gaisf.

Δεύτερος ἴαμβος, ἐκ βραχείας καὶ μακρᾶς συγκείμενος. Ἐκλήθη δὲ οὕτως ἢ ἀπὸ Ἰάμβης τῆς Κελεοῦ θεραπαίνης, ὅτι ἡ Δημήτηρ περίλυπος οὖσα ἐπὶ τῇ ἁρπαγῇ τῆς ἑαυτῆς θυγατρὸς καὶ πλανωμένη παρεξενώθη τινὶ ὀνόματι Κελεῷ καὶ τῇ αὐτοῦ γαμετῇ Μετανείρῃ· καὶ τούτου ἡ θεράπαινα, ἡ καὶ Ἰάμβη καλουμένη, ὡς ἔφαμεν, παρεμυθήσατο τὴν Δήμητρα ὀρχησαμένη, καὶ ἄσματα ἐν τοιούτῳ ῥυθμῷ προενεγκοῦσα· ἢ ἀπὸ Ἰάμβης τινὸς κόρης αἰσχρῶς ὑβρισθείσης καὶ διὰ τοῦτο ἀγχόνῃ χρησαμένης· ἢ ἀπὸ γραός τινος Ἰάμβης καλουμένης, ᾗ πλυνούσῃ συντυχὼν ὁ Ἱππώναξ καὶ ἁψάμενος τῆς σκάφης, ἐφ' ἧς ἔπλυνεν ἡ γραῦς τὰ ἔρια, ἤκουσε λεγούσης

ἄνθρωπ' ἄπελθε, τὴν σκάφην ἀνατρέψεις.

ἢ ὅτι τὸ λοιδορεῖν ἰαμβίζειν ἐλέγετο, ἀπὸ τοῦ ἴον βάξειν, τοῦτ' ἔστι λόγους μεστοὺς πικρίας λέγειν· ἔστι δὲ τὸ μέτρον λοιδορικόν.

Τρίτος ὁ τροχαῖος, ἐκ μακρᾶς καὶ βραχείας, οὕτω λεγόμενος ἐκ μεταφορᾶς τῶν τρεχόντων, οἵτινες ἐν τῷ προϊέναι ἀπὸ μακροτέρας ἀρχόμενοι ὁδοῦ κατὰ μικρὸν βραχύνουσιν αὐτήν.

Τέταρτος ὁ σπονδεῖος, ἐκ δύο μακρῶν συγκείμενος. Ἐκλήθη δὲ οὕτως, ὅτι ἐν ταῖς σπονδαῖς, ἃς ἐποιοῦντο πρὸς τοὺς θεούς, τοιούτῳ μέτρῳ ἐχρῶντο, πολυχρονιωτέραν ἔσεσθαι τὴν ζωὴν αὑτοῖς καὶ τὰ ἄλλα τῶν ἀγαθῶν εὐχόμενοι.

Τῶν δὲ τρισυλλάβων πρῶτος μὲν ὁ χορεῖος, ὁ καὶ τρίβραχυς, ἐκ τριῶν βραχειῶν. Ἐκλήθη δὲ χο-

6 *Μετανείρῃ* HeinsiusGaisf., *νῆρι* libb. 15 *ἀνατρέπεις* libb., *ἀνατρέψεις* Tricha de iambico 16 *ἴον βάξειν* Tyrwhitt, *ἰβάξειν* libb. 26 *πολυχρονιωτέραν*] *πολυχρονίαν* B2

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

διὰ τὸ ἑκατέρωθεν τῆς βραχείας ἔχειν τὰς μακράς, ὁ καὶ κρητικὸς καὶ (πα)ιωνικός· τὸ μὲν ὅτι ὑπὸ Κρήτων εὑρεθῆναι δοκεῖ· τὸ δὲ ὅτι πρὸς τὰ (πα)ιωνικὰ καλούμενα μέτρα ἥρμοσται. Ἕβδομος ὁ βακχεῖος, ἐκ βραχείας καὶ δύο μακρῶν. Ἐκλήθη δὲ οὕτως, ἐπειδὴ οἱ τῶν διθυραμβοποιῶν πρὸς Διόνυσον ὕμνοι ὡς ἐπὶ τὸ πλεῖστον ἐκ τούτου τοῦ μέτρου ἦσαν· ὁ καὶ ὑποβάκχειος. Ὄγδοος ὁ παλιμβάκχειος, τούτῳ ἀντικείμενος, ἐκ δύο μακρῶν καὶ βραχείας, οὕτω κεκλημένος διὰ τὸ ἀντίστροφος εἶναι τῷ βακχείῳ· ὁ καὶ Διονύσιος, καθὰ καὶ αὐτὸς πρὸς τὰ Διονυσιακὰ μέλη πεποίηται· ὁ καὶ προσοδιακὸς καὶ πομπευτικός, διὰ τὸ ἐν προσοδίοις ὕμνοις οὕτω καλουμένοις καὶ ἐν ταῖς Διονυσιακαῖς πομπαῖς ἐπιτήδειος εἶναι.

Τῶν δὲ τετρασυλλάβων μυείαν οἱ σχολιογράφοι οὐκ ἐποιήσαντο· διὰ τοῦτο οὐδὲ ἡμεῖς πολλὰ περὶ αὐτῶν φιλοκρινοῦμεν. Τέως εἰσὶν οὗτοι, πρῶτος ὁ προκελευσματικὸς οὕτω καλούμενος, ἐπειδὴ πρῶτός ἐστι τῶν διπλῶν, ἐκ τεσσάρων βραχειῶν, σύνθετος ὢν ἐκ δύο πυρριχίων. Δεύτερος ὁ ἀντικείμενος αὐτῷ, δισπόνδειος, ἐκ τεσσάρων μακρῶν, σύνθετος ὢν ἐκ δύο σπονδείων. Τρίτος, ὁ διίαμβος, ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, σύνθετος ὢν ἐκ δύο ἰάμβων, ὁ καὶ παράλληλος ἴαμβος, ἢ ἰαμβικὴ ταὐτοποδία. Τέταρτος ὁ ἀντικείμενος τούτῳ, διτρόχαιος, ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας, ὁ καὶ κρητικὸς καὶ διχόρειος, ἢ τροχαϊκὴ ταὐτοποδία. Πέμπτος, ὁ ἀπ' ἐλάσσονος ἰωνικός, ἐκ δύο βραχειῶν καὶ

2 (πα)ιωνικὸς — 3 (πα)ιωνικὰ Micyllus, ἰωνικὸς — ἰ. libb. 13 προσοδίοις] ποδίης Fl, ποδιοις B1.2 15 ἐπιτήδειον FlB1

δύο μακρῶν, σύνθετος ὢν ἐκ πυρριχίου καὶ σπονδείου, ὁ καὶ ὑποκύκλιος. Ἕκτος, ὁ ἀπὸ μείζονος ἰωνικός, ἀντικείμενος τούτῳ, ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν, ἐκ τῶν αὐτῶν ποδῶν ἀνάπαλιν συγκείμενος, ὁ καὶ Περσικός· ἰωνικὸς μέν, ὅτι οἱ Ἴωνες αὐτῷ ἐκέχρηντο· Περσικὸς δέ, διὰ τὸ τὰς ἱστορίας τὰς Περσικὰς τούτῳ τῷ μέτρῳ γεγράφθαι. Ἕβδομος ὁ ἀντίσπαστος, ἐκ βραχείας καὶ δύο μακρῶν καὶ βραχείας, ἐξ ἰάμβου καὶ τροχαίου, συγκείμενος, ὁ καὶ σπονδειακὸς καὶ βακχεῖος κατὰ ἴαμβον. Ὄγδοος ὁ χορίαμβος, ἀντικείμενος τούτῳ, ἐκ μακρᾶς δύο βραχειῶν καὶ μακρᾶς, ἐκ τῶν αὐτῶν ποδῶν ἀνάπαλιν συγκείμενος, ὁ καὶ κύκλιος ἢ ὑποβάκχειος ἢ καὶ βακχεῖος κατὰ τροχαῖον. Ἐφεξῆς δὲ τούτων οἱ τέσσαρές εἰσι παίωνες, κοινῷ μὲν ὀνόματι οὕτω καλούμενοι, μίαν δὲ μόνην συλλαβὴν ἔχοντες ἕκαστος μακράν, τὰς δὲ λοιπὰς τρεῖς βραχείας. Περιεχομένης δὲ τῆς μακρᾶς τὰς τέσσαρας τούτου χώρας, διαστέλλονται ἕκαστος τῷ πρῶτος λέγεσθαι καὶ δεύτερος καὶ τρίτος καὶ τέταρτος. Ἔστι τοίνυν πρῶτος παίων, ὁ ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν συγκείμενος, ὁ καὶ παιωνικός, διὰ τὸ ἐν τοῖς παιῶσιν ὕμνοις παραλαμβάνεσθαι· δεύτερος ὁ ἐκ βραχείας καὶ μακρᾶς, καὶ δύο βραχειῶν, ὁ καὶ συμβλητὸς καὶ κρητικὸς λεγόμενος, διὰ τὴν αὐτὴν αἰτίαν· τρίτος ὁ ἐκ δύο βραχειῶν μακρᾶς καὶ βραχείας, ὁ καὶ διδυμαῖος ἢ κουρητικὸς ἢ δελφικὸς ἢ δρόμιος· τέταρτος ὁ ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς, ὁ καὶ ὑπορχηματικὸς καὶ κρητικός.

16 *μόνην συλλαβὴν*] *μονοσύλλαβον* Fl... 17 *ἕκαστον* Fl... 18 *Περιεχομένης δὲ* Tu, *δὲ* om. Fl... 19 *διαστέλλεται* Tu 28 *δρόμαιος* Fl 29 *ὑποχρηματικὸς* Fl

Ὁμοίως τούτοις ἔχουσι καὶ οἱ καλούμενοι ἐπίτριτοι, τέσσαρες ὄντες καὶ οὗτοι, καὶ ἕκαστος τρεῖς μακρὰς καὶ μίαν βραχεῖαν ἔχοντες· περιερχομένης δὲ καὶ ἐν αὐτοῖς τῆς βραχείας συλλαβῆς, κατὰ τὴν θέσιν αὐτῆς διαστέλλονται ἀλλήλων τῷ τε πρῶτος λέγεσθαι καὶ δεύτερος καὶ τρίτος καὶ τέταρτος. Ἔστιν οὖν πρῶτος ἐπίτριτος, ὁ ἐκ βραχείας καὶ τριῶν μακρῶν, ὁ καὶ ἵππειος ἢ καρικὸς ἢ δόχμιος· δεύτερος ὁ ἐκ μακρᾶς καὶ βραχείας καὶ δύο μακρῶν· τρίτος ὁ ἐκ δύο μακρῶν βραχείας καὶ μακρᾶς, ὁ καὶ περιοδικός· τέταρτος ὁ ἐκ τριῶν μακρῶν καὶ βραχείας, ὁ καὶ μονογενής.

Ἰστέον δὲ ὅτι ἀπὸ τούτων ἐννέα μόνον πόδες συνιστῶσι τὰ μέτρα· ὁ ἴαμβος, ἀφ' οὗ τὸ ἰαμβικόν· ὁ τροχαῖος, ἀφ' οὗ τὸ τροχαϊκόν· ὁ δάκτυλος, ἀφ' οὗ τὸ δακτυλικόν, ἤγουν τὸ ἡρωϊκόν· ὁ ἀνάπαιστος, ἀφ' οὗ τὸ ἀναπαιστικόν· ὁ χορίαμβος, ἀφ' οὗ τὸ χοριαμβικόν· ὁ ἀντίσπαστος, ἀφ' οὗ τὸ ἀντισπαστικόν· ὁ ἰωνικὸς ἀπὸ μείζονος, ἀφ' οὗ τὸ ἰωνικὸν ἀπὸ μείζονος· ὁ ἰωνικὸς ἀπ' ἐλάσσονος, ἀφ' οὗ τὸ ἰωνικὸν ἀπ' ἐλάσσονος· καὶ ὁ κρητικός, ἤγουν ὁ ἀμφίμακρος, ἀφ' οὗ τὸ παιωνικόν. Οἱ δὲ λοιποὶ πόδες συνέρχονται μετὰ τούτων εἰς συμπλήρωσιν τῶν μέτρων, καθ' ἑαυτοὺς δὲ μέτρα οὐ συνιστῶσι.

[Κεφ. ε'. Περὶ ἐπιπλοκῆς.] Ἐπιπλοκή ἐστι τοῦ μέτρου τὸ ἀνώτατον γένος, ἐξ ἧς τὰ μέτρα γίνεται. Εἰσὶ μὲν οὖν ἐπιπλοκαὶ κατὰ μέν τινας καὶ ἄλλαι, πλὴν αἱ νῦν ἀναγκαιόταται τρεῖς· καὶ ἡ μὲν καλεῖται τρίσημος δυαδική· ἡ δέ, τετράσημος δυαδική· ἡ δέ, ἑξάσημος τετραδική· καὶ δυαδικῆς μὲν

11 περιοδικὸς TuFl, παροδικὸς rell. 13 ἐννέα μόνον] ἐννέα μόνοι Bl.2

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



τάδε ἀλλήλοις ἐπιπλέκεσθαι. Ταῦτα περὶ τρισήμου δυαδικῆς.

Ἡ δὲ τετράσημος δυαδικὴ δύο μὲν εἴδη γεννᾷ, δακτυλικὸν καὶ ἀναπαιστικόν· καὶ διὰ τοῦτο καλεῖται δυαδικὴ τετράσημος, ὅτι ὁ δάκτυλος καὶ ὁ ἀνάπαιστος τετράσημοί εἰσιν, ἤγουν τετράχρονοι. Κληθείη δ' ἂν καὶ ὀκτάσημος, εἰ κατὰ συζυγίαν μετροῖτο καὶ βαίνοιτο ὡς τὰ ἀναπαιστικά. Ἐπιπλέκεται δὲ ἀλλήλοις ἀεὶ τὸν τρόπον τοῦτον· ἔστω στίχος ὅλος δακτυλικός

Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσε (ι 39).

Τούτου τοίνυν πρώτην ἀφελὼν συλλαβὴν τὸ λειπόμενον γίνεται ἀναπαιστικόν· καὶ αὖ πάλιν, ἐὰν τὰς ἑξῆς ἀφέλῃς βραχείας δύο συλλαβάς, γίνεται δακτυλικόν

θέν με φέρων ἄνεμος Κικόνεσσι πέλασσε.

ἢ κατὰ τὴν ἀρχήν, ἐὰν προσθῶ δύο βραχείας, ἀναπαιστικὸν τὸ εἶδος γίνεται

ὅτε Ἰλιόθεν.

Τὸ αὐτὸ οὖν ποιεῖ καὶ πάσχει τὸ ἀναπαιστικόν, πλὴν ὅτι τὰς δύο βραχείας κατὰ τὴν ἀρχὴν ὑφαιρεῖται, ἢ προσλαμβάνει μίαν μακράν. Δεῖ οὖν σε, ὅταν λαμβάνῃς δυαδικὴν τετράσημον, ἐὰν μὲν μακρὰν εὑρίσκῃς, μίαν ἀφαιρεῖν· ἐὰν δὲ βραχείας δύο, μίαν προστιθέναι μακράν· καὶ οὕτω σοὶ τὸ μὲν δακτυλικὸν γίνεται ἀναπαιστικόν, τὸ δὲ ἀναπαιστικὸν δακτυλικόν. Ἐὰν μέντοι ὁ ἡρωϊκὸς στίχος καὶ σπονδεῖον ἔχῃ συγκαταμεμιγμένον, πάλιν τὸ ὅμοιον συμβαίνει· ἐν γὰρ ταῖς ἁρμοζούσαις προσθέσεσί τε καὶ ἀφαιρέσεσι τὸ εἶδος εἰς ἀναπαιστικὸν εἶδος ὑγιὲς ἀλλάσσεται, ὡς ἐπὶ τοῦδε

ὣς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ (*H* 1).

ὑγιὲς ἐποίησα ἀναπαιστικόν, προσθεὶς βραχείας δύο ὁ δὲ ὣς εἰπὼν πυλέων.

Διὰ τί δὲ ἐν τοῖς τῆς πρώτης ἐπιπλοκῆς κατὰ μίαν ἀφαιροῦμεν ἢ προστίθεμεν, ἐν δὲ τούτοις ἔσθ' ὅτε κατὰ δύο; Μάλιστα μέν, ἐπεὶ ἐκεῖνα ἐξ ἁπλῶν δύο σύγκειται συλλαβῶν, ταῦτα δὲ ἐκ τριῶν· καὶ ὥσπερ ἐν τῷ περὶ καταλήξεως διεσήμαινε τὸ καταληκτικὸν καὶ ὑπερκαταληκτικόν· καταληκτικόν μέν, τὸ καταλῆγον εἰς δισυλλαβίαν, ὑπερκαταληκτικὸν δέ, τὸ καταλῆγον εἰς μονοσυλλαβίαν· οὕτω κἀνταῦθα οὐ κατὰ μίαν μόνον, ἀλλ' ἐνίοτε καὶ κατὰ δύο.

Ἔτι δὲ κἀκεῖνο ῥητέον, ὅτι ἐκεῖνα μὲν ἐν ἴσῳ κεῖται λόγῳ, ταῦτα δὲ ἐν διπλασίῳ· πρὸς οὖν τὴν μίαν μακρὰν τὰς δύο δεῖ ἀφαιρεῖν ἢ προστιθέναι βραχείας, ἵνα ἐν ἴσῳ ὁ λόγος διατηρηθῇ.

Ἡ δὲ τρίτη ἐπιπλοκὴ καλεῖται μὲν τετραδική, ἐπειδὴ τέσσαρα εἴδη ἐξ αὐτῆς ἐπιπλέκεται, ἀντισπαστικόν, χοριαμβικόν, καὶ ἰωνικὰ δύο· ἑξάσημος δέ, ὅτι ἕκαστος τούτων ἑξάχρονός ἐστιν. Ἐπιπλέκεται δὲ ἐξ ἀλλήλων τοῦτον τὸν τρόπον· τίθημι μέτρον ἰωνικὸν ἀπὸ μείζονος

βλαστεῖ δ' ἐπὶ γῆς δένδρεα παντοῖα φύοντα.

τοῦτο ἀπὸ μείζονος ἰωνικὸν τετράμετρον βραχυκατάληκτον· ἀφαιρῶ αὐτοῦ τὴν πρώτην συλλαβήν, τὸ καταλειπόμενον γίνεται χοριαμβικὸν

στεῖ δ' ἐπὶ γῆς.

ἀφαιρῶ καὶ τὴν δευτέραν, τὸ καταλειπόμενον γίνεται ἰωνικὸν ἀπ' ἐλάσσονος

ἐπὶ γῆς δέν.

4 ἐν τοῖς τῆς πρώτης ἐπιπλοκῆς] ἐν ταῖς πρώταις ἐπιπλοκαῖς libb.Gaisf.

ἀφαιρῶ καὶ τὴν τρίτην, τὸ καταλειπόμενόν ἐστιν ἀντισπαστικὸν

πὶ γῆς δένδρε.

εἰ δὲ καὶ τὴν τετάρτην ἀφέλοις, ἀναδραμεῖται εἰς τὸ ἀρχαῖον τὸ ἀπὸ μείζονος

γῆς δένδρεα.

Οὐ μόνον δὲ ἐν ταῖς προειρημέναις ἀφαιρέσεσιν ἀλλὰ καὶ ἐν ταῖς προσθέσεσιν αἱ εἰρημέναι σώζονται ἐπιπλοκαί· τὸ χάριεν δὲ τῆς παρατηρήσεώς ἐστι τοιοῦτον· ἐν μὲν ταῖς ἀφαιρέσεσι μετὰ τὸ ἰωνικὸν γίνεται χοριαμβικόν, εἶτα ἀπ' ἐλάσσονος, εἶτα ἀντισπαστικόν, εἶτα πάλιν τὸ ἀπὸ μείζονος· ἐν δὲ ταῖς προσθέσεσι, τὸ ἀντισπαστικόν, εἶτα πάλιν τὸ ἀπ' ἐλάσσονος, εἶτα τὸ χοριαμβικόν, εἶτα πάλιν τὸ ἀπὸ μείζονος.

Τοῦ μὲν ἡρωϊκοῦ μέτρου σχήματά εἰσι τριάκοντα δύο· ὅλων γὰρ ὄντων δακτύλων ἓν σχῆμα γίνεται, καὶ ὅλων σπονδείων, ἕν· δάκτυλος δὲ μετὰ σπονδείων, ε', σπονδεῖος δ' αὖ μετὰ δακτύλων, ε', δύο δὲ σπονδεῖοι μετὰ τριῶν δακτύλων, ι', καὶ δύο δάκτυλοι μετὰ τριῶν σπονδείων, ι'. Καὶ ἐστὶν ἡ μέθοδος οὕτως· ἑκάστη τῶν ε' χωρῶν δύο δέχεται πόδας, δάκτυλόν τε καὶ σπονδεῖον. Καταγράφω τοίνυν πεντάκις τὴν δυάδα β'. β'. β'. β'. β'. καὶ πολλαπλασιάσας τὴν πρώτην ἐπὶ τὴν β', ἤγουν δὶς δύο, ποιῶ τέσσαρας· εἶτα τὰ ἀπὸ τῆς πρώτης καὶ β'. γεγονότα, ἤγουν τὰ τέσσαρα, ἐπὶ τὴν τρίτην, τοῦτ' ἔστι τὰ δύο δὶς τέσσαρα λέγων, καὶ ποιῶ η', καὶ ταῦτα ἐπὶ τὴν δ', ἤγουν τὰ δύο, καὶ γίνονται ις'. δὶς γὰρ τὰ ὀκτώ, ις'. καὶ ταῦτα ἐπὶ τὴν ε', καὶ γίνονται λβ'. δὶς γὰρ ις', τριάκοντα δύο. Ἔλθωμεν

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

Καταληκτικὸν εἰς συλλαβήν, ἤγουν ἐνδέον δύο συλλαβαῖς

Μῶσ' ἄγε Καλλιόπα θύγατερ.

Βραχυκατάληκτον δέ, ὡς τὸ

Μῶσ' ἄγε Καλλιόπα θύγα.

Ὑπερκατάληκτον εἰς δισυλλαβίαν, ἤγουν πρὸς τῷ τελείῳ καὶ μέρος δισύλλαβον

Μῶσ' ἄγε Καλλιόπα θύ.

Ὑπερκατάληκτον εἰς συλλαβήν, ἤγουν πρὸς τῷ τελείῳ καὶ μέρος ἔλαβε ποδὸς μονοσύλλαβον

Μῶσ' ἄγε Καλλιόπα.

Ταῦτα μὲν οὕτως ἐν τῷ δακτυλικῷ τε καὶ ἀναπαιστικῷ μέτρῳ εὑρίσκεται. Ἐν δὲ τοῖς ἄλλοις μέτροις αὐτάρκεις αἱ τέσσαρες, πλὴν τῆς καταληκτικῆς εἰς δισύλλαβον, καὶ ὑπερκαταλήκτου εἰς δισύλλαβον. Δισυλλάβων γὰρ ὄντων τῶν ποδῶν, τὸ μὲν καταληκτικὸν εἰς δισύλλαβον ἀκατάληκτόν ἐστι, τὸ δὲ ὑπερκατάληκτον εἰς δισύλλαβον, βραχυκατάληκτον. Ἰστέον δὲ ὅτι τὸ αὐτό ἐστιν ἀπόθεσις καὶ κατάληξις· καὶ γενικόν ἐστιν ἀντὶ τοῦ ἀπόθεσις, καὶ εἰδικὸν ἀντὶ τοῦ ἐλάττωσις. Ἀπὸ τούτου οὖν τοῦ εἰδικοῦ ὠνόμασται τὸ ἀκατάληκτον καὶ καταληκτικόν· τὸ γὰρ ὑπερκατάληκτον δύναται ἀπὸ τοῦ γενικοῦ. Ἰστέον δ' ὅτι ἐὰν ᾖ δισύλλαβος ὁ πούς, ὅπερ καὶ ἄνωθεν ἔφαμεν, καὶ ἐνδέῃ μιᾷ συλλαβῇ, λέγεται εἶναι καταληκτικὸν εἰς συλλαβήν· ἐὰν δὲ τρισύλλαβος ὑπάρχῃ ὁ πούς, καὶ ἐνδέῃ μιᾷ συλλαβῇ, λέγεται εἶναι καταληκτικὸν εἰς δύο συλλαβάς.

4 *Βραχυκατάληκτον — θύγα* legitur post *Ὑπερκατάληκτον — Καλλιόπα* lib. Gaisf. 9 *Ὑπερκατάληκτον εἰς συλλαβὴν* — 11 *Καλλιόπα* M, om. rell. 25 *ἐνδεῖ μιᾷ συλλαβῇ* libb. bis 26 *ἐὰν* — 27 *ὑπάρχῃ*] *εἰ* — *ὑπάρχει* S, *εἰ* — *ὑπάρχῃ* M, *εἰ* — *ᾖ*

2. *Ἀντὶ τοῦ εἶμι ὥστε ἀπὸ πασσάλου λύουσα. Τοῦτο δ' ἴσον τῷ πορεύομαι ὥσπερ ἀπὸ πασσάλου λυθεῖσα.* S.

3. *Πᾶν μέτρον — ἐπίληπτα*] *Δεῖ δὲ εἰπεῖν, ἢ ὡς τελείαν, καθάπερ καὶ Ἡλιόδωρος ἔλεγεν ὁ γραμματικός, διὰ τὸ ὑψηρεφὲς δῶ καὶ τὰ τοιαῦτα. Δῆλον δ' ὅτι καὶ ἀπὸ τελείας ἄρχεσθαι θέλει[ν]· ὅθεν καὶ συνηγοροῦντές τινες εἰς τὸ*

(Τρῶας ἀπώσασθαι, καὶ ἐρυκέμεν) εὐρύοπα Ζῆν',
αὐτοῦ κ' ἔνθ' ἀκάχοιτο (καθήμενος οἷος ἐν Ἰδῃ) (Θ 206),

καὶ τοῖς ὁμοίοις, ὅτι τὸ ν εἰς τὸ τέλος τοῦ πρώτου στίχου ἐστί, καὶ οὐκ ἔστιν ἀρκτικὸν τοῦ ἑξῆς στίχου, ἐκέχρητο τούτῳ τῷ λόγῳ, ὅτι πᾶν μέτρον ἢ θέλει ἀπαρτίζειν εἰς τέλος λέξεως, καὶ πάλιν ἀπ' ἀρχῆς θέλει ἄρχεσθαι. Μᾶλλον δ' ἀκριβέστερον ἐξετάσαντες οἱ περὶ Ἀριστοφάνην τὸν γραμματικὸν καὶ Ἀρίσταρχον, ὡς ἐν τῇ συντάξει τῆς ὀρθογραφίας ἀκριβέστερον ἔγνωμεν, τὸ ν τῷ ἐπιφερομένῳ στίχῳ ἐπετίθεσαν, λέγοντες ὅτι ὁ λόγος ἔρρωται ἐπὶ παθῶν. Τοῦτο γὰρ καὶ τὰ ὅμοια πάθη εἰσίν, οἱ δὲ κανόνες τῶν ὑγειῶν οὐ τῶν πεπονθότων εἰσὶ κανονιστικοί. Ὅμως δὲ εὑρέθησαν πολλὰ μέτρα εἰς μέρη λέξεως ἀπαρτίζοντα, καὶ ἀπὸ τοῦ ἄλλου μέρους τῆς λέξεως ἀρχόμενα· καὶ φέρει μὲν ὁ τεχνικός τινα παραδείγματα. Εἰσὶ δὲ καὶ ἄλλα πολλά, οἷον παρὰ Καλλιμάχῳ ἐν Ἐπιγράμμασιν

ἥμισύ μοι ψυχῆς ἔτι τὸ πνέον, ἥμισυ δ' οὐκ οἶδ'
εἴτ' Ἔρος εἴτ' Ἀΐδης ἥρπασεν ἐκ μελέων.

καὶ Μένανδρος ἐν Πλοκίῳ

TuGaisf. 27 ἔτι τὸ πνέον] ἐπὶ τὸ πνέον S 28 ἐκ μελέων Gaisf., ἐκ μετώπων S, πλὴν ἀφανές Anthol. Pal. 12, 73.

λεπτὸν μεθ' ἑτέρας ἱστὸν ὑφαίνει.

καὶ ἐξαιρέτως παρὰ Σοφοκλεῖ

ἔγωγ' οὔτ' ἐμ' αὐτὸν οὔτε σ' ἀλγυνῶ. τί ταῦτ'
ἄλλως ἐλέγχεις; οὐ γὰρ ἂν πύθοιό μου (O. T. 332)·

ὥστε καλεῖσθαι τὸ εἶδος Σοφοκλεῖον, καὶ ἐπισυναλοιφή, διὰ τὸ ἐπισυνάπτεσθαι τὸ σύμφωνον τῷ ἑξῆς ἰάμβῳ, ἤτοι τῷ στίχῳ. Ἰστέον δ' ὅτι διὰ τὸ ἀδύνατον ὁ Εὐφορίων τὸ Ἀπολλόδωρος διέλυσε φάσκων

καί τις Ἀπολλό-
δωρος ἐφ' υἱέα Λειοφόωντος. S.

ΣΧΟΛ. Β.

[*Κεφ. δ'. Περὶ ἀποθέσεως.*] *Κατάληξις καὶ ἀπόθεσις ταὐτόν ἐστι. Κατακλεῖδά φησι τὸν πρὸ τῆς καταληκτικῆς συλλαβῆς πόδα μετὰ καὶ αὐτῆς τῆς συλλαβῆς. Δάκτυλον τρίμετρον καταληκτικὸν εἰς συλλαβὴν τὸ καλούμενον πενθημιμερὲς ποδῶν δύο καὶ συλλαβῆς ἐστὶ μιᾶς· πενθημιμερὲς δὲ καλεῖται ὅτι τὰ δύο ἥμισυ ἀναλυόμενα πέντε μέρη ποιοῦσιν. Ὡσαύτως καὶ τὸ δακτυλικὸν τετράμετρον καταληκτικὸν εἰς συλλαβὴν τὸ καὶ ἑφθημιμερὲς ποδῶν ὑπάρχον τριῶν ἡμισυ φανερὸν ὅτι ἑπτὰ μέρη ἔχει. Ὑπερκατάληκτον εἰς δισύλλαβον μὲν ὅταν μετὰ τὴν συζυγίαν δύο συλλαβαὶ καταλήξωσιν· εἰς συλλαβὴν δὲ ὅταν μετὰ τὴν συζυγίαν συλλαβὴ μία καταλήξῃ. Ἀκατάληκτον δὲ ὅταν ἡ συζυγία ἀπαρτισθῇ εἰς τὴν κατάληξιν. Καταληκτικὸν εἰς δισύλλαβον ὅταν μετὰ*

3 ἔγωγ' οὔτ' ἐμ' αὐτὸν S 22 ἑπτὰ μέρη] ἕπτα μερῆ ἥμισυ Tu, ἕπτα μέρη ἥμισυ Fl

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



εὐσεβής· ἐν κωμῳδίᾳ μὲν γὰρ στωμύλλεται καὶ λοιδορεῖ, ἐν τραγῳδίᾳ δὲ πενθεῖ· ἔσθ' ὅτε δὲ καὶ ὕμνοι γράφονται τούτῳ, ὥστε καὶ εὐσεβής. (Παρὰ Καλλιμάχῳ δὲ καινὸν εἶναι δοκεῖ καὶ ὡς ...

φέρων ἴαμβον οὐ μάχην ἀείδοντα
τὴν Βουπάλειον. S.)

Ἰστέον δὲ ὅτι ἐπὶ τῶν καταληκτικῶν ἰάμβων, ὅταν ἐνδέῃ μιᾷ συλλαβῇ, ὁ ἴαμβος παραλήγει, καὶ μετ' αὐτόν ἐστιν ἡ μία συλλαβὴ ἡ τελευταία· ὑπόκειται γὰρ ὁ τελευταῖος ποὺς ἐνδεῖν μιᾷ συλλαβῇ· ἢ ὁ τρίβραχυς παραλήγει. Ἀλλ' εἰ μὲν ὁ ἴαμβος παραλήγει μετὰ τῆς τελευταίας συλλαβῆς, γίνεται τὸ τέλος τοῦ ἰάμβου ἀμφίβραχυς, ἐκ τῆς βραχείας τοῦ ἰάμβου καὶ τῆς μακρᾶς αὐτοῦ, καὶ τῆς βραχείας τῆς τελευταίας συλλαβῆς· εἰ δὲ ὁ τρίβραχυς παραλήγει, προστίθεμεν καὶ τούτῳ τὴν τελευταίαν συλλαβήν· καὶ εἰ μακρὰ μὲν εἴη αὕτη, ποιήσει τὸν τέταρτον παίωνα· εἰ δὲ βραχεῖα, προκελευσματικόν· τὰ δὲ περὶ αὐτοῦ εἰρημένα περὶ μόνης τῆς τοῦ ἰάμβου παραλήξεως εἴρηται· εἰ δὲ σπονδεῖος εἴη παραλήγων, εἰ μὲν μακρὰ εἴη ἡ λήγουσα, γίνεται μολοττός· εἰ δὲ βραχεῖα, παλιμβάκχειος· πάλιν, εἰ ἴαμβος παραλήγει, τῆς ἐπιφερομένης μακρᾶς οὔσης, γίνεται βάκχειος. (Εἰ καλῶς γὰρ ἅπαξ τετράχρονον λαμβάνει, διατί μὴ καὶ τοὺς ἄλλους; S.)

(Ἰαμβικὸν δίμετρον ἀκατάληκτον ποδῶν ἁπλῶν τεσσάρων. Ἰαμβικὸν τρίμετρον ἀκατάληκτον ποδῶν

1 στωμύλλεται S, στωμυλλεύεται MTu 7 ἐπὶ τῶν καταληκτικῶν ἰάμβ.] ἐπὶ om. Tu ὅταν ἐνδεῖ MS 10 ἐνδεῖν] ἐν S 11 παραλήγει om. S 12 γίνεται τὸ τέλος S, λέγεται τ. τ. MTu 17 ποιήσει τὸν τέταρτον MS, ποιήσοι ἄν τ. τ. Tu 19 περὶ αὐτοῦ εἰρημένα] περὶ om. MS 21 παραλήγων Tu, om. S, ἡ παραλήγουσα S 24 εἰ] οὐ S

ἁπλῶν ς'. Ἰαμβικὸν τετράμετρον ἀκατάληκτον ποδῶν ἁπλῶν η'. Ἰαμβικὸν δίμετρον καταληκτικὸν ποδῶν ἁπλῶν γ', καὶ συλλαβῆς α'. . . . . S).

Ἰστέον δὲ καὶ τοῦτο, ὅτι πεντάμετρα βραχυκατάληκτα καλεῖται, οἷον τὸ

πάτερ Λυκάμβα, ποῖον ἐφράσω τοδί; τίς σὰς παρήειρε.

Καταληκτικὸν δὲ οἷον τὸ τοιόνδε

πάτερ Λυκάμβα, ποῖον ἐφράσω τοδί; τίς σὰς παρήειρε φρέ.

(Ἀκατάληκτον δὲ οἷον

πάτερ Λυκάμβα ποῖον ἐφράσω τοδί; τίς σὰς) παρήειρε φρένας.

Ἐπεὶ δὲ οὐκ ἐνδέχεται στίχον (μείζονα ἢ) τριακοντάσημον εἶναι, ἀλλ' εἰ εὐρεθείη, περίοδος καλεῖται, ἄχρι τούτου ἔστη ὁ κανών. Εἰ δὲ καθαρὰ ἦν τὰ ἰαμβικά, ἐδέχετο καὶ τὰς ἄλλας δύο παραυξήσεις. Ἐπεὶ δὲ οὖν ἐνδέχεται συζυγίας ἑπτασήμους καὶ ὀκτασήμους, ἕως αὐτῶν ἔστησαν, τὴν μέσην τάξιν ὁδεύσαντες, δύο ποιήσαντες ἑπτασήμους, καὶ τὴν κατακλεῖδα ἑπτάσημον.

2. *βακχεῖον*] *Κατακλείς ἐστιν ὁ μετὰ τὴν τελευταίαν συλλαβὴν πούς, ὃς καὶ ὀφείλεται εἶναι πρὸς τὸν ποῦν τὸν συνιστῶντα τὸ μέτρον.* P. (*Ἰστέον*) *ὅτι κατακλεὶς λέγεται ὅτι ἀπήρτισται ἐκ τοῦ ἀτελοῦς εἰς πόδα τέλειον ἢ τέως ἀτελὴς παραλήγουσα,*

7 *καταληκτικὸν δὲ οἷον* — 8 *παρήειρε φρέ* MS, om. Tu 9 *ἀκατάληκτον δὲ οἷον* — 10 *παρήειρε φρένας* addidi e scholl. B. Ultima *παρήειρε φρένας* omissis prioribus etiam Tu 11 (*μείζονα ἢ*) om. libb.Gaisf. *τριακοντάσημον*] *τετράσημον* M Tu 13 *ἔστη* S, *ἔστιν* MTu 15 *οὖν ἐνδέχεται*] *οὐκ ἐ.* libb. Gaisf. *συζυγία ἑπτάσημος καὶ ὀκτάσημος* libb. 16 *κρᾶσιν* S, *τάξιν* MTuGaisf. 21 *Ἰστέον* om. libb.Gaisf.

καὶ ἐποίησε τὸ μέτρον ἀπὸ καταληκτικοῦ ἤγουν ἀτελοῦς ἀκατάληκτον ἤγουν τέλειον. Γίνεται δὲ κατακλείς, ὅτε παραλήγει ὁ ἴαμβος ἐν τοῖς καταληκτοῖς ἤγουν ἀτελέσι μέτροις. Ἐπισφράγισις γάρ ἐστι μέτρου ἢ εἰς ἀμφίβραχυν ἢ εἰς βάκχειον. Γίνεται δὲ οὕτως ἡ τελευταία καὶ περιττεύουσα συλλαβὴ βραχεῖα ἢ μακρά· εἰ μὲν βραχεῖα, συμπλακεῖσα τῷ ἰάμβῳ, ἀμφίβραχυν ποιεῖ· εἰ δὲ μακρά, βάκχειον. Da.

3. Μὴ εἰρηκὼς περὶ τῆς τομῆς ἐνταῦθα, ἐν δὲ τῇ κατὰ πλάτος αὐτοῦ πραγματείᾳ καὶ τοῦτο πεποίηκε, σαφῶς δείξας καὶ συμφωνήσας πᾶσιν ὅτι δύο μόναι εἰσὶ τομαὶ τοῦ ἰάμβου, λέγω δὴ πενθημιμερὲς δύο ἥμισυ ποδῶν καὶ ἑφθημιμερὲς τριῶν ἥμισυ. S.

ΣΧΟΛ. Β.

[Κεφ. ς'. Περὶ ἰαμβικοῦ.] Τὸ ἰαμβικὸν μέτρον κατὰ μὲν τὸ περιφανέσταταν αὐτοῦ μέχρι τοῦ τριμέτρου πρόεισι· κατὰ δὲ τὰ παρὰ τοῖς παλαιοῖς εὑρισκόμενα καὶ μέχρι τοῦ πενταμέτρου παραύξεται. Δέχεται δὲ κατὰ μὲν περιττὰς χώρας τοὺς πέντε τούτους πόδας, ἴαμβον χορεῖον σπονδεῖον δάκτυλον ἀνάπαιστον· εἰς δὲ τὰς ἀρτίους τοὺς ἀπὸ βραχείας ἀρχομένους, ἴαμβόν φημι καὶ χορεῖον καὶ ἀνάπαιστον· κατὰ δὲ τὴν ἕκτην χώραν ἴαμβον μόνον ἢ πυρρίχιον. Τρίμετρον δὲ ἔφαμεν, τὸ ἓξ ἔχον πόδας ἢ χώρας, καθὸ κατὰ διποδίαν βαίνοιτο τὸ τοιοῦτον μέτρον. Ὑφίστανται δὲ ἀπὸ τούτου τοῦ μέτρου κατὰ ἀφαίρεσίν τε καὶ πρόσθεσιν μονόμετρά τε καὶ δίμετρα καὶ τετράμετρα καὶ πεντάμετρα. Ἀποθέσεις δὲ αὐτῶν αἵπερ καὶ πάντων· καὶ γὰρ

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

ἥκω φέρων σοὶ τῆς ἐρήμου καρδίας.
καταληκτικὸν δὲ ὡς τὸ
ὄγμος κακοῦ δὲ γήραος καθαιρεῖ.
ὑπερκατάληκτον δὲ ὡς τόδε
πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον; τίς.
Τετράμετρον δέ, βραχυκατάληκτον μὲν ὡς τοῦτο
πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον; τίς σάς.
λείπει γὰρ ὅλῳ ποδὶ πρὸς τετράμετρον. Ἀκατάληκτον δὲ ὡς τόδε
δέξαι με κωμάζοντα, δέξαι, λίσσομαί σε, λίσσομαι.
πλήρεις γὰρ ἔχει τὰς δ' διποδίας. Καταληκτικὸν δὲ ὡς τόδε
εἴ μοι γένοιτο παρθένος καλή τε καὶ τέρεινα·
λείπει γὰρ μιᾷ συλλαβῇ πρὸς τετράμετρον. Ὑπερκατάληκτον δέ, ὡς τόδε
οὐκ ἦν γὰρ εἰκὸς τὴν φάτταν(?) πεφυρμένην ψυχὴν γεωργεῖν.
Πεντάμετρον δὲ βραχυκατάληκτον μὲν τόδε
πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον; τίς σὰς παρήειρε.
ἀκατάληκτον δὲ
πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον; τίς σὰς παρήειρε φρένας.
καταληκτικὸν δὲ τόδε
πάτερ Λυκάμβα ποῖον ἐφράσω λόγον; τίς σὰς φρένας σ' ἀφεῖλεν;
ὑπερκατάληκτον δὲ οὐκ ἔστιν, ὅπου καὶ αὐτὸ τὸ ἀκατάληκτον σπανιώτατόν ἐστι, διὰ τὸ μὴ βούλεσθαι τὸν ἴαμβον ἐπὶ πλέον τῶν λβ' χρόνων ἀνέρχεσθαι.

Ἔστι δὲ καὶ ἕτερον ἰαμβικόν, καλούμενον χωλιαμβικόν, ὃ τοῦ ὀρθοῦ τούτῳ διαφέρει. Τὸ μὲν γὰρ ὀρθὸν τὴν τελευταίαν βάσιν ἰάμβῳ ἢ πυρριχίῳ ἀπαρτίζει, καὶ ἀδιαφορεῖ κατὰ τὸν παραλήγοντα πάντας δεχόμενον τοὺς εἰς ἴαμβον συντελοῦντας πόδας, μηδὲν μικρολογούμενον περὶ τὴν τῶν συλλαβῶν ποσότητα· τὸ δὲ χωλὸν τὴν μὲν κατακλεῖδα ἤτοι τὴν βάσιν, σπονδειακὴν ἀπαιτεῖ ἢ τροχαϊκὴν πάντως διὰ τὸ ἀδιάφορον τῆς τελευταίας συλλαβῆς· τὸν δὲ παραλήγοντα πόδα οὐ μόνον δισύλλαβον, ἀλλὰ καὶ ἴαμβον πάντως ἢ σπονδεῖον, ἴαμβον μὲν ὡς τόδε

ἀκούσαθ' Ἱππώνακτος, οὐ γὰρ ἀλλ' ἥκω.

σπονδεῖον δὲ ὡς τοῦτο

ἐπ' ἄκρον ἕλκων ὥσπερ ἀλλᾶντα ψύχων.

καὶ περὶ ἰαμβικοῦ τοσαῦτα.

ΕΤΙ ΠΕΡΙ ΙΑΜΒΙΚΟΥ. Τὸ ἰαμβικὸν μέτρον ἐστὶ μὲν ἑξάμετρον· διαιρεῖται δὲ εἰς δύο. Τὸ μὲν γὰρ αὐτοῦ καλεῖται τραγικόν τε καὶ κωμικόν, ᾧ καὶ τῶν παλαιῶν οἱ πολλοὶ ἐχρήσαντο· δέχεται δὲ τοῦτο ἐν μὲν τῇ πρώτῃ καὶ τρίτῃ καὶ πέμπτῃ βάσει πόδας ε', δάκτυλον, σπονδεῖον, χορεῖον, ἀνάπαιστον, καὶ τὸν ὁμώνυμον ἴαμβον, ἐν δὲ τῇ δευτέρᾳ καὶ τετάρτῃ τοὺς ἀπὸ βραχείας ἀρχομένους, τοῦτ' ἔστιν ἀνάπαιστον, χορεῖον καὶ ἴαμβον, ἐν δὲ τῇ ἕκτῃ ἴαμβον ἢ πυρρίχιον· δεῖ γὰρ αὐτὴν εἶναι πάντως δισύλλαβον, καὶ τὴν μὲν πρὸ τέλους εἶναι βραχεῖαν, τὴν δὲ ἐπὶ τέλους ἀδιάφορον. Τὸ δὲ ἕτερον τοῦ ἰαμβικοῦ μέρος καλεῖται καθαρόν τε καὶ τρίμετρον· τούτῳ δὲ ὀλίγοι τῶν ἀρχαίων ἐχρήσαντο· δέχεται δὲ ἐν μὲν τῇ πρώτῃ βάσει ἴαμβον καὶ σπον-

δεῖον, ὁμοίως καὶ ἐν τῇ τρίτῃ καὶ ἐν τῇ πέμπτῃ· ἐν δὲ τῇ δευτέρᾳ καὶ τετάρτῃ ἴαμβον μόνον· ἐν δὲ τῇ ἕκτῃ ἴαμβον ἢ πυρρίχιον. Ἐκλήθη δὲ ἴαμβος, ἀφ' οὗ τὸ μέτρον παρονομάζεται ἰαμβικόν, ἐπείπερ οἱ ὑβρίζειν καὶ λοιδορεῖν τινὰς βουλόμενοι τούτῳ ἐχρῶντο τῷ μέτρῳ· ἰαμβίζειν γὰρ ἔλεγον οἱ παλαιοὶ τὸ ὑβρίζειν, ὅπερ ἐστὶ καὶ πικρίας ἀνάμεστα ῥήματα λέγειν· ἢ ἀπὸ Ἰάμβης οὕτω καλουμένης κόρης, ἥτις αἰσχρῶς ὑβρισθεῖσα ἀγχόνῃ κατέλυσε τὸν βίον, ὅπερ καὶ αἱ Λυκαμβίδες ἐπὶ τοῖς Ἀρχιλόχου ποιήμασι. Καὶ διὰ τοῦτό φασι συντεθῆναι τὸν ἴαμβον ἐκ βραχείας καὶ μακρᾶς, διὰ τὸ τὴν ὕβριν ἐκ βραχείας ἀρχομένην αἰτίας εἰς μέγα λήγειν κακόν. Μαρτυρεῖ δὲ τῷ λεγομένῳ Ὁμήρου ὁ σοφώτατος

ἦτ' ὀλίγη μέν, λέγων, πρῶτα κορύσσεται· αὐτὰρ ἔπειτα
οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει (Δ 442).

Πόδες οὖν τοῦ ἰαμβικοῦ μέτρου ἕξ· ἴαμβος, χορεῖος, σπονδεῖος, δάκτυλος, ἀνάπαιστος, πυρρίχιος. Μετρεῖται δὲ τὸ ἰαμβικὸν κατὰ διποδίαν, ὅθεν καὶ τρίμετρον λέγεται, εἰ γὰρ καὶ ἑξάμετρον ἔφημεν αὐτὸ ἐν τῇ ἀρχῇ, ἀλλ' ἁπλῶς εἴπομεν, ἀντὶ τοῦ ἑξάποδον.

Τοῦ δὲ ἰαμβικοῦ μέτρου χαρακτῆρές εἰσι τέσσαρες, τραγικός, κωμικός, σατυρικός, καὶ οὕτω πως ἰδίως λεγόμενος ἰαμβικός. Καὶ ἐστὶ τραγικοῦ μὲν ἴδιον, τὸ ἐπὶ πλεῖστον μὲν ἐκ σπονδείων καὶ ἰάμβων συγκεῖσθαι, σπανίως δὲ καὶ ἕνα τρισύλλαβον ἐπιδέχεσθαι, οἷον

ἥκω Διὸς παῖς τήνδε Θηβαίαν χθόνα
Διόνυσος, ὃν τίκτει πόθ' ἡ Κάδμου κόρη.

κωμικοῦ δὲ ἴδιον, τὸ καὶ ἐκ τρισυλλάβων ὡς ἐπὶ τὸ πλεῖστον συγκεῖσθαι, οἷον

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



καὶ

Ζαχαρίου μεγάλου πάγκλυτε κοῦρε.

Τινὲς δὲ συντάττουσιν αὐτοῖς καὶ ἕτερον ἐξ ἑνὸς τῶν τετρασυλλάβων ποδῶν τὴν συστροφὴν ἔχοντα, ἤγουν ἐξ ἰωνικοῦ ἀπ' ἐλάσσονος τρίμετρον ἀκατάληκτον, ὃν καὶ ἀνακλώμενόν φασι, ἐπιδεχόμενον δὲ τομὴν ἑφθημιμερῆ, τουτέστι μετὰ τὰς τρεῖς τοῦ δευτέρου ποδὸς περαινομένην τὴν τομὴν εἰς μέρος λόγου, οἷον

ἀρετῆς ἔργα φέρειν ἔμπονος ἦβη.

Ἔστι δὲ ὅτε καὶ ἀπὸ χοριάμβου ἄρχεται ὁ τοιοῦτος στίχος, εἶτα ἔχει τὸν ἰωνικὸν ἀπ' ἐλάσσονος, διὰ τὸ ἀδιάφορον τῆς τελευταίας, καθὰ τῷ ἁγίῳ Σωφρονίῳ καὶ ἄλλοις ἀρχαιοτέροις δοκεῖ, οἷον

Χριστιανῶν μακάρων ἔλθετε παῖδες.

Καὶ οὕτω μὲν ἐκ τριῶν τετρασυλλάβων· εἰ δὲ βούλει ἐκ δισυλλάβων ἕξ, ἐν μὲν τῇ πρώτῃ χώρᾳ, τροχαίου, ἐν δὲ τῇ δευτέρᾳ, ἰάμβου, ἐν δὲ τῇ τρίτῃ, πυρριχίου, ἐν δὲ τῇ τετάρτῃ, σπονδείου, ἐν δὲ τῇ πέμπτῃ, πάλιν πυρριχίου, ἐν δὲ τῇ ἕκτῃ, τροχαίου ἢ σπονδείου διὰ τὴν ἀδιάφορον.

Εἰς κεφ. ϛ'. Περὶ τροχαϊκοῦ

ΣΧΟΛ. Α.

1. *Ἀκολούθως ὁ λόγος μετὰ τὸ ἰαμβικὸν ἦκει ἐπὶ τὸ τροχαϊκόν· (γένεσις γὰρ τροχαϊκῶν ἴαμβος·*

24 *Ἀκόλουθος ἦν ὁ λόγος — ἦκειν* S

ἐπεὶ καὶ ἓν ἀμφοῖν γένος· ἀπὸ γὰρ τῆς αὐτῆς ὁρμᾶται ἐπιπλοκῆς τά τε ἰαμβικὰ καὶ τὰ τροχαϊκὰ τῆς καλουμένης τρισήμου ἢ ἑξασήμου δυαδικῆς, ὥστε τῷ εἴδει μόνῳ τοῦ ἰαμβικοῦ διαφέρει· καὶ τὸ εἶδος δὲ αὐτοῦ γέγονεν ἐκ τῆς συνθέσεως τοῦ σχήματος· ἐπὶ μὲν γὰρ ἰάμβου πρώτη ἡ βραχεῖα, ἐπὶ δὲ τροχαίου δευτέρα· διαλαβόντας οὖν περὶ τοῦ ἰάμβου ἀναγκαῖον ἦκειν καὶ ἐπὶ τὸν τροχαῖον· ἀναγκαίως οὖν μετὰ τὸ ἰαμβικὸν εἰς τὸ τροχαϊκὸν ἔρχεται. MS.) ἄμφω γὰρ μιᾶς ἐπιπλοκῆς εἰσί, τῆς καλουμένης τρισήμου ἢ ἑξασήμου δυαδικῆς· ἄλλως τε καὶ ἀντιπαθής ἐστιν αὐτῶν, καὶ εὐπρεπὴς ἑκατέρα τομή· γένεσίς τέ ἐστιν ἑκατέρῳ ἡ αὐτή· καὶ γαρ τῷ ἰαμβικῷ εἰ προσθείης κατ' ἀρχὴν μακρὰν συλλαβήν, τροχαϊκὸν ποιήσεις· εἰ δὲ τῷ τροχαϊκῷ βραχεῖαν, ἰαμβικόν· ἔπειθ' ὁ ἴαμβος κατὰ τὰς περιττὰς τοὺς πέντε δέχεται, κατὰ δὲ τὰς ἀρτίους τοὺς τρεῖς· τὸ δὲ τροχαϊκὸν τοὐναντίον. (Κοινὸς δὲ ἀμφοῖν ποὺς ὁ σπονδεῖος· ἐπεὶ (ἐν) τῷ μὲν ἰαμβικῷ συνήρξατο, τῷ δὲ τροχαϊκῷ συνανεπαύσατο. Διὸ ἐν μὲν ἰαμβικῷ ἐν ταῖς πρώταις ἐτίθετο, ἐν δὲ τροχαϊκῷ ἐν ταῖς δευτέραις. Κοινὸς δὲ ἀμφοῖν καὶ ὁ δάκτυλος, τῷ τοῦ μὲν εἶναι ἀρχήν, τοῦ δὲ τέλος. Καλεῖται δὲ ἡ ἐπιπλοκὴ αὐτῶν τρίσημος ἢ ἑξάσημος. Ὅτι εἰ μὲν κατὰ μονοποδίαν βαίνεται ταῦτα τὰ μέτρα, τρεῖς χρόνους ἔχει, εἰ δὲ κατὰ διποδίαν, ἕξ· σημασίαι δὲ οἱ χρόνοι παρὰ τοῖς μετρικοῖς καλοῦνται. Καὶ ἀντιπαθῆ δὲ λέγεται ταῦτα τὰ μέτρα ἀλλήλοις· τὸ μὲν γὰρ ἀπὸ βραχείας ἄρχεται, καὶ εἰς μακρὰν λήγει·

3 τρισήμου ἢ] τριμέτρου libb.Gaisf. 14 προσθῆς M 19 (ἐν) τῷ μὲν ἰαμβικῷ — τροχαϊκῷ] τῷ μ. ἰάμβῳ — τροχαίῳ libb.Gaisf. 20 Διὸ ἐν μὲν ἰαμβικῷ] ... ἰάμβῳ libb.Gaisf.

τὸ δὲ τροχαϊκὸν ἀπὸ μακρᾶς ἀρχόμενον εἰς βραχεῖαν λήγει. Ἰστέον ὅτι τὸ τροχαϊκὸν κατὰ συζυγίαν μετρεῖται· καὶ ἔστιν ἡ συζυγία ἤτοι διτρόχαιος ἑξάχρονος, ἢ ἐπίτριτος δεύτερος ἑπτάχρονος· ἢ πεντασύλλαβος ἐκ χορείου καὶ τροχαίου ἑξάχρονος, ἢ χορείου καὶ σπονδείου ἑπτάχρονος ἢ δακτύλου καὶ τροχαίου ἑπτάχρονος· ἢ ἑξασύλλαβος ἐκ δακτύλου καὶ χορείου ἑπτάχρονος, ἢ ἐκ δύο χορειῶν ἑξάχρονος. Τὸν δὲ λήγοντα πόδα λαμβάνει τροχαῖον ἢ σπονδεῖον, τὸ δὲ χωλὸν σπονδεῖον τὸν παραλήγοντα. Λαμβάνει δὲ εἰς συζυγίαν καὶ δακτύλου καὶ σπονδείου καὶ δακτύλου καὶ ἀναπαίστου ὀκτάχρονον, ἢ χορείου καὶ ἀναπαίστου ἢ χορείου καὶ δακτύλου ἑπτάχρονον. MS.)

2. *τετράσημον*] *Σημασίαι οἱ χρόνοι παρὰ τοῖς μετρικοῖς καλοῦνται.*

3. *νῦν δέ μοι*] *Τοῦτο τὸ τροχαϊκὸν δίμετρον καταληκτικόν ἐστι τὸ καλούμενον Εὐριπίδειον ἢ Ληκύθιον, ἁπλῶν ποδῶν τριῶν καὶ μιᾶς συλλαβῆς. Ληκύθιον δέ φασιν αὐτὸ ἢ δι' Ἀριστοφάνην σκώπτοντα τὸ μέτρον τὸ ἐφθημιμερὲς Εὐριπίδου, τῷ*

Θοαῖσιν ἵπποις. Ἀ. ληκύθιον ἀπώλεσεν,

ἢ διὰ τὸν βόμβον τὸν τραγικόν· βόμβος γὰρ γίνεται περὶ τὸ ληκύθιον ἐκ τοῦ ἐμπεριεχομένου αὐτῷ ἀέρος κινουμένου, ἢ ὑπὸ πνεύματος ἀνδρὸς ἢ ὑπ' ἄλλου· διὸ καὶ Καλλίμαχος μοῦσαν ληκυθίαν τὴν τραγῳδίαν λέγει. (Ἰστέον δὲ ὅτι τοὺς τραγικοὺς ληκύθους ἐκάλουν· ὅθεν καὶ Καλλίμαχός φησιν

6 *σπονδείου ἑπτάχρονος* S, *σπ. ἑξάχρονος* M 9 *τροχαῖον ἢ σπονδεῖον*] *τρ. ἢ χορεῖον* libb.Gaisf. 17 *Τοῦτο τὸ τροχαϊκὸν* M, *τοῦτο τὸ* om. TuGaisf. 21 *τῷ*] *τὸ* libb. 24 *περὶ τὸ ληκύθιον* MTu, *παρὰ τὸ λ.* S

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

ους, διὸ καὶ βραχυκατάληκτον αὐτὸ λέγει· λέγεται δὲ ἰθυφαλλικόν, ἐπειδὴ τῷ ῥυθμῷ τούτῳ ἐκέχρηντο ἐν τῇ τοῦ ἰθυφάλλου πομπῇ. (Εἰσὶ γὰρ δ΄ δάκτυλοι καὶ τρεῖς τροχαῖοι. S.)

8. *ἰαμβικῷ*] *Δῆλον ὅτι τριμέτρῳ. (αὐτὸ)*] *τὸ ἰθυφαλλικόν· μετὰ (γὰρ) τὸν ἴαμβον τέθεικε πάλιν τρεῖς τροχαίους, ὅ ἐστι τὸ ἰθυφαλλικόν.* S.)

9. *οἱ δὲ κωμικοὶ*] *Ὥσπερ ἐπὶ τοῦ ἰαμβικοῦ κατὰ τὰς ἀρτίους τὸν ἀνάπαιστον ἐλάμβανον οἱ κωμικοί, οἱ δὲ τραγικοὶ καὶ ἰαμβοποιοὶ σπανίως· οὕτω καὶ ἐνταῦθα δακτύλῳ κατὰ τὰς περιττάς φησι χρῆσθαι τοὺς κωμικοὺς διὰ τὸ ὁμιλητικὸν καὶ τὸ βούλεσθαι δοκεῖν τὸ μέτρον εἶναι διαλελυμένον. Τῆς γὰρ πρώτης τοῦ σπονδείου μακρᾶς εἰς δύο βραχείας διαλυομένης ἀνάπαιστος γίνεται· ὁμοίως δὲ καὶ τῆς δευτέρας διαλυομένης ὁ δάκτυλος.*

ΣΧΟΛ. Β.

[*Κεφ. η΄. Περὶ τροχαϊκοῦ.*] *Ἔστι δὲ τὸ τροχαϊκὸν ὡσαύτως κατά τε τὰς τῶν ποδῶν παραυξήσεις καὶ τὰς τομὰς καὶ ἔτι τὰς ἀποθέσεις (καὶ μὴν καὶ κατὰ τὸ σεσινῶσθαι τὰς βάσεις οὐ φαύλῳ τινὶ τοῦ ἰαμβικοῦ διαφέρον* S). *Βαίνεται δὲ παραπλησίως ἐκείνῳ κατὰ διποδίαν (δέχεται δὲ τὸ τρίμετρον αὐτοῦ πόδας ἐν μὲν ταῖς περιτταῖς τροχαῖον ἴαμβον τρίβραχυν ἤτοι χορεῖον δάκτυλον, ἐν δὲ ταῖς ἀρτίαις τροχαῖον τρίβραχυν ἤτοι χορεῖον σπονδεῖον δάκτυλον*

2 *τῷ ῥυθμῷ* om. Tu 3 *δ΄ δάκτυλοι*] *καὶ δάκτυλοι* lib. Gaisf. 5 *ἰαμβικῷ δῆλον ὅτι τριμέτρῳ τὸ ἰθυφαλλικόν. μετὰ τὸν ἴαμβον* lib.Gaisf. 9 *οἱ κωμικοὶ* — 10 *ἰαμβοποιοί*] *οἱ ἰαμβοποιοὶ καὶ οἱ κωμικοί, οἱ δὲ τραγικοὶ* S 11 *δακτύλῳ* — *περιττάς*] *τῷ κατὰ τὰς π. δακτύλῳ* MS 15 *ὁμοίως δὲ καὶ*] *δὲ* om. MS 22 *παραπλησίως ἐκείνῳ* S, *π. ἐκείνοις* rell.

ἀνάπαιστον S). *Ἐπισημότατα δ' αὐτοῦ (καὶ παρὰ πολλοῖς φερόμενα* S) *τό τε δίμετρον καταληκτικὸν καὶ ἔτι τὸ τρίμετρον καταληκτικὸν ὅ τινες καὶ ἀκέφαλον ἴαμβον καλοῦσι (ὅτι μιᾷ συλλαβῇ λείπει κατ' ἄρχαν ἰαμβικὸν τρίμετρον εἶναι* om. S) *καὶ ἔτι τὸ τετράμετρον (περὶ ὧν ἤδη εἰρήσεται. Ἀλλ' ἀναλάβωμεν ἄνωθεν τὸν λόγον* S).

Μονόμετρον μὲν οὖν τροχαϊκὸν βραχυκατάληκτον ὡς τοῦτο

Ζεύς με.

ἀκατάληκτον (δὲ ὡς τόδε S)

κάρφεται γάρ.

καταληκτικὸν

Ζεῦ πάτερ.

ὑπερκατάληκτον

ἔρχεται πολύς.

Δίμετρον δὲ βραχυκατάληκτον μὲν

κάρφεται γὰρ ἤδη.

ὃ καὶ ἰθυφαλλικόν. ἀκατάληκτον δὲ

οὐδ' Ἀμειψίαν ὁρᾶτε.

καταληκτικὸν δὲ

νῦν δέ μοι πρὸ τειχέων.

(*ὃ καὶ Εὐριπίδειον* om. S). *ὑπερκατάληκτον δὲ*

οὐδ' Ἀμειψίαν ὁρᾶτε νῦν.

Τρίμετρον δὲ βραχυκατάληκτον μὲν ὡς τοῦτο

οὐδ' Ἀμειψίαν ὁρᾶτε πτωχόν.

ἀκατάληκτον δὲ

4 *λείπει κατ' ἄρχαν*] *λ. κ. ἀρχὰς* libb.Gaisf. 19 *ὃ καὶ ἰθυφαλλικὸν*] *τοῦτο δὲ καὶ ἰθ. καλεῖται* S

νῦν δέ μοι πρὸ τειχέων θούριος Ἄρης (!).

καταληκτικὸν δὲ ὃ καὶ ἴαμβον ἀκέφαλον ἔφαμεν καλεῖσθαι

Ζεῦ πάτερ γάμον μὲν οὐκ ἐδαισάμην.

ὑπερκατάληκτον δὲ

ἔρχεται πολὺς μὲν Αἰγαῖον διατμήξας.

Τετράμετρον δὲ βραχυκατάληκτον μὲν

οὐδ' Ἀμειψίαν ὁρᾶτε πτωχὸν ὄνθ' ἕν' ἡμῶν.

ἀκατάληκτον δὲ

κλῦθί μευ γέροντος εὐέθειρα χρυσόπεπλε κούρα.

καταληκτικὸν δὲ

ἐρξίη πῇ δηῦτ' ἄνολβος ἀθροΐζεται στρατός.

ὑπερκατάληκτον δὲ

κλῦθί μευ γέροντος εὐέθειρα χρυσόπεπλε νῦν κούρα.

Πεντάμετρον δὲ βραχυκατάληκτον μὲν τόδε

ἔρχεται πολὺς μὲν Αἰγαῖον διατμήξας ἀπ' οἰνηρᾶς δέ.

(*ἀκατάληκτον δὲ τὸ αὐτὸ προσκειμένου τῷ τέλει τοῦ Χίου. καταληκτικὸν δὲ τὸ αὐτὸ πάλιν λείποντος τοῦδε τοῦ συνδέσμου*

ἔρχεται πολὺς μὲν Αἰγαῖον διατμήξας ἀπ' οἰνηρᾶς Χίου.

ὑπερκατάληκτον δὲ οὐκ ἔστιν ὥσπερ οὐδὲ ἐν τῷ ἰαμβικῷ om. S.)

Ἔστι δὲ καὶ χωλὸν τροχαϊκὸν τετράμετρον καταληκτικὸν (ὃ τὸν παραλήγοντα πόδα σπονδεῖον ἔχει om. S) *ὡς τόδε*

μητροτίμῳ δῆτ' ἐμὲ χρὴ τῷ σκότῳ δικάζεσθαι.

4 *ἐδαισάμην*] *ἐδησάμην* S 6 *διατμήξας*] *διανήξας* Fl BS, *διανύσας* Tu 12 *δῆτ' ἄνολβος* S 26 *μητροτίμῳ* B1.2, *μηπροτίμω* Fl, *μὴ προτίμα* Tu

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



ρυθμον γὰρ τοῦτο. Λέγεται δὲ τὸ ἡρωϊκὸν καὶ ἑξάμετρον, ἀπὸ τοῦ ἀριθμοῦ τῶν βάσεων.

Οἱ μὲν οὖν ἄλλοι σχεδὸν πάντες μετρικοί, ὅπερ ἔφημεν, ἀπὸ τοῦ δακτυλικοῦ φασὶν ἄρχεσθαι, καὶ τιμὴν ταύτην ἀπονέμειν τῷ μέτρῳ καὶ τῷ τὸ μέτρον εὑρόντι· ὁ δὲ ἀπ' ἐλάσσονος ἀρξάμενος Ἡφαιστίων ἀπὸ τρισήμου τὸν λόγον ποιεῖται δυαδικῆς· ἐπελθὼν δὲ ἐπὶ τὴν τετράσημον, τοῦ τετρασήμου πρῶτον τέθεικε δακτυλικόν. Δακτυλικοῦ δὲ εἴδη μὲν πλείονα καὶ τῶν πλειόνων μεγεθῶν ἐπώνυμα· τὸ δὲ ἐνδοξότατον ἐν αὐτοῖς ὑπάρχει τὸ ἑξάμετρον καταληκτικόν, καὶ διὰ τοῦτο οἶμαι καὶ ἡρῷον προσαγορεύεται. Δακτυλικὸν μὲν οὖν τὸ γένος ὠνόμασται καὶ τὸ ἀναπαιστικόν· πάντα γὰρ τὸν ἐν ἴσῳ λόγον δακτυλ(ικ)ὸν καλοῦσιν οἱ ῥυθμικοί· ὥσπερ γὰρ τὰ μέτρα ὠνόμασται τοῦ σώματος, οὕτω καὶ τὰ μέτρα αὐτοῖς ἐδόκει ἐπώνυμα εἶναι κρουμάτων. Ἐπεὶ οὖν καὶ πούς τις καλεῖται καὶ βάσις καὶ δάκτυλος ὠνόμασται· ἰδίως δὲ τοῦτο ἡρῷον προσαγορεύεται, ὡς τῶν ἄλλων πρότερον ἢ ἀρχαιότερον, καθὸ καὶ ἥρωας καλοῦμεν τοὺς τῆς γενέσεως προλαβόντας τὴν τύχην· ἔνιοι δέ φασιν ἐπεὶ τὰ ἡρωϊκὰ διηγήματα τούτῳ τῷ μέτρῳ καταμετρεῖται. Δεῖγμα δὲ ἡ τοῦ Ὁμήρου ποίησις καὶ Ἡσιόδου καὶ ὁ Κύκλος πᾶς. Τὸ δὲ μέγεθος τὸ καταληκτικὸν καὶ ἰδίως αὐτὸ τοῦτο καλεῖται ἔπος· τὸ γὰρ αὐτὸ τῶν ἄλλων ἀρχαιότερον ὄν, καὶ τὸ κοινὸν πάντων ὄνομα

2 ἑξάμετρον] ἑξάριθμον M 5 τῷ τὸ μέτρον εὑρόντι] τὸ μέτρον om. M 7 δυαδικῆς] δακτυλικῆς M 13 γένος] γε κῶλον S 14 καὶ τὸ ἀναπαιστικὸν om. S cum lacuna. δάκτυλον libb.Gaisf. 17 αὐτοῖς ἐδόκει] αὐτοὶ ποιοῦσιν S 19 τοῦτο ἡρῷον] ἐν αὐτῷ ἡρῶον S 23 διηγήματα S, τῶν διηγηματικῶν MGaisf.

προοήρπασεν. Ἔπη οὖν καὶ τὰ ἄλλα καλοῦμεν μέτρα· ἰδίως δὲ τοῦτο, καὶ κατ' ἐξοχήν. MS)

2. τέω σ' ὦ] Αἰολικὸν πεντάμετρον τοῦ ἑξαμέτρου δακτύλῳ μεμειωμένον. Τὸ δὲ βραδινῷ ἀντὶ τοῦ ῥαδινῷ ἐστί, πλεονασμῷ τοῦ β αἰολικῶς.

3. θυρωρῷ] Αἰολικὸν τετράμετρον, τοῦ ἑξαμέτρου δυσὶ δακτύλοις μεμειωμένον· τὸ δὲ ἑπταθόργυιοι ἀντὶ τοῦ ἑπταρόγυιοι.

4. ἠράμαν] Ὁ πρῶτος δισύλλαβος, οἱ δὲ ἑξῆς τέσσαρες τρισύλλαβοι πόδες συλλαβῶν ιβ'. Καὶ οὕτω γίνεται τὸ ὅλον ιδ' συλλαβῶν. Πανταχοῦ γὰρ ἐν τῷ Αἰολικῷ ὁ πρῶτος δισύλλαβος ἀδιάφορος.

5. Λογαοιδικὰ ταῦτα καλεῖται, ὅτι ὁ μὲν δάκτυλος ἀοιδοῖς μᾶλλον ἐπιτήδειος, ὁ δὲ τροχαῖος λογογράφοις. Λογαοιδικὸν οὖν καλεῖται τὸ μέτρον ὡς ἐκ δακτύλου καὶ τροχαίου συγκείμενον, ἀοιδικὸν μὲν διὰ τὸν δάκτυλον, ἐπειδὴ εὔρυθμος, λογικὸν δὲ διὰ τὸν τροχαῖον. Διὸ καὶ οἱ παλαιοὶ κέχρηνται αὐτῷ, ὅτε θέλουσι τρέχειν λόγον· τοιαύτη δὲ ἡ ῥητορικὴ καταλογάδην οὖσα.

ΣΧΟΛ. Β.

[Κεφ. θ'.] ΠΕΡΙ ΔΑΚΤΥΛΙΚΟΥ. Τὸ τοίνυν δακτυλικὸν βαίνεται μὲν κατὰ μονοποδίαν, αὔξεται δὲ μέχρι ποδῶν ἓξ. Ἔχει δὲ διαφορὰς τρεῖς· τὸ μὲν γὰρ αὐτοῦ ἐστὶ κοινόν, τὸ δὲ Αἰολικόν, τὸ δὲ λο-

1 καλοῦμεν S, καλούμενα M 3 Τοῦτο Αἰολικόν ἐστι M 7 δυσὶ δ. μ.] δακτύλῳ μ. δύο S 10 τρισύλλαβοι πόδες συλλαβῶν Tu, τετρασύλλαβοι ποδῶν M, συλλαβῶν ὅλων S 19 ὅτι θέλουσι τρέχειν MTu 22 Τὸ τοίνυν δακτυλικὸν S, τοίνυν om. rell.Gaisf.

γαοιδικόν. Τὸ μὲν οὖν κοινὸν κατὰ πᾶσαν χώραν δέχεται ἀδιαφόρως δάκτυλον καὶ σπονδεῖον· ὑφίστησι δὲ κατὰ ἀφαίρεσιν δίμετρά τε καὶ τρίμετρα· μονόμετρα γὰρ οὐκ ἔχει, τῷ μὴ βαίνεσθαι κατὰ διποδίαν· συνέμπτωσιν γὰρ ἂν ἐποίει τῶν τοιούτων μέτρων πρός τε τὰ τροχαϊκὰ καὶ ἰαμβικά. Ἔχει δὲ ἀποθέσεις τρεῖς, καταληκτικὸν εἴς τε συλλαβὴν καὶ εἰς δισύλλαβον καὶ ἀκατάληκτον. Καὶ δίμετρον μὲν ἀκατάληκτον, τὸ

ὑμῖν μὲν θεοί.

Τρίμετρον δέ, καταληκτικὸν μὲν εἰς συλλαβήν, ὃ καὶ πενθημιμερὲς καλεῖται καὶ Ἀρχιλόχειον, τὸ

ἐν δὲ Βατουσιάδης.

καταληκτικὸν δὲ εἰς δισύλλαβον, ὡς τὸ

οὐλομένην ἣ μυρί' (A 2).

ἀκατάληκτον δὲ τὸ

Ἀτρεῖδαί τε καὶ ἄλλοι.

Τετράμετρον δὲ καταληκτικὸν μὲν εἰς συλλαβὴν τὸ καὶ ἑφθημιμερές, ᾧ Ἀλκμὰν κέχρηται

ταῦτα μὲν ὡς ἂν ὁ δῆμος ἅπας.

καταληκτικὸν δὲ εἰς δισύλλαβον, τὸ καὶ Ἀρχιλόχειον φαινόμενον κακὸν οἰκαδ' ἄγεσθαι.

ἀκατάληκτον δὲ τὸ Ἀρχιλόχειον, ὃ καὶ δίμοιρον ἔπος λέγεται,

οὐκέθ' ὅμως θάλλεις ἁπαλὸν χρόα.

Πεντάμετρον δέ, καταληκτικὸν μὲν εἰς συλλαβὴν

ὡς ἔφατ', οὐδ' ἀπίθησεν ἄναξ ἀνδρῶν (B 441).

καταληκτικὸν δὲ εἰς δισύλλαβον, τὸ καλούμενον Σιμμίειον

1 *κατὰ πάσας τὰς χώρας* S 4 *μονόμετρα γὰρ* S, *μ. δὲ* rell.Gaisf. 6 *ἰαμβικὰ καὶ τροχαϊκὰ* S *Ἔχει δὲ ἀποθέσεις κτλ.*] *ἀποθέσεις δὲ τῶν δακτυλικῶν* S ubi desunt reliqua.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

καθαροὺς μέντοι καὶ ἐν τάξει δακτύλων κειμένους. Καθαροὶ δέ εἰσιν, ὅταν ἀπαρτίζωσιν εἰς μέρος λόγου, καὶ τὴν ἐπιφερομένην λέξιν ἔχωσιν ἀπὸ φωνήεντος ἀρχομένην· καὶ παλιμβάκχειον μέν, ὡς ἐν τῷ

πλάγχθη· ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε (α 2).

ἀπήρτισται γὰρ εἰς μέρος λόγου τὸ πλάγχθη, καὶ ἡ ἑξῆς ἄρχεται ἀπὸ φωνήεντος του ε̄. Ἀμφίμακρον δέ, ὡς ἐν τῷ

οὔ τί μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσι (Γ 164).

καὶ εἰσὶν ἐν τούτῳ τρεῖς ἀμφίμακροι, ἔν τε ταῖς μοι συλλαβαῖς δύο, καὶ ἐν τῇ αἰτίη· ἀπηρτισμένοι γάρ εἰσιν εἰς μέρος λόγου, καὶ τὰς ἑξῆς ἔχουσιν ἀπὸ φωνήεντος ἀρχομένας. Ἡ δὲ ἕκτη χώρα σπονδεῖον δέχεται καὶ τροχαῖον· ἐπὶ παντὸς γὰρ μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβή. Ἡρωϊκὸν δὲ καλεῖται τὸ μέτρον, ἐπείπερ Ὅμηρος ὁ ποιητὴς τὰς τῶν ἡρώων πράξεις διεξιὼν τούτῳ κέχρηται τῷ μέτρῳ. Χρὴ δὲ γινώσκειν ὅτι ὁ παλιμβάκχειος εἰς τὴν δευτέραν συλλαβὴν θεραπεύεται, τοῦτ' ἔστιν, ἵνα ᾖ αὕτη ἡ δευτέρα συλλαβὴ τοῦ παλιμβακχείου εἰς μέρος λόγου, καὶ ἡ ἑξῆς ἄρχηται ἀπὸ φωνήεντος, οἷον

πλάγχθη· ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε.

ὁ δὲ ἀμφίμακρος κατὰ τὴν τρίτην, λήγουσαν καὶ ταύτην ὁμοίως εἰς μέρος λόγου, καὶ τὴν ἑξῆς ἔχουσαν ἀπὸ φωνήεντος ἀρχομένην, οἷον

οὔ τί μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν.

Ἔπη δὲ λέγονται κυρίως οἱ τοῦ ἡρωϊκοῦ τούτου μέτρου καὶ ἑξαμέτρου στίχοι.

11 ἔν τε τῇ μοι συλλαβῇ δύο libb.Gaisf.

Περὶ διαφορῶν τῶν ἡρωϊκοῦ. *Διαφοραὶ δὲ τῶν ἡρωϊκῶν στίχων εἰσὶν ἑπτά· κατενόπλιον, περιοδικόν, βουκολικόν, σαπφικόν, ὑπόρρυθμον, τέλειον καὶ πολιτικόν. Κατενόπλιον μὲν οὖν ἐστὶ τὸ ἔχον δύο δακτύλους καὶ ἕνα σπονδεῖον, οἷον*

ὡς φάτο δακρυχέων, τοῦ δ' ἔκλυε πότνια μήτηρ (*A* 357).

Περιοδικὸν δέ ἐστι τὸ ἔχον ἕνα δάκτυλον καὶ ἕνα σπονδεῖον, οἷον

οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε (*A* 2).

Βουκολικὸν δὲ τὸ μετὰ τρεῖς πόδας ἀπαρτίζον εἰς μέρος λόγου, οἷον

ἐξ ἐπιδιφριάδος πυμάτοις ἱμᾶσι δέδεντο (*K* 475).

Σαπφικὸν δέ ἐστι τὸ ἀρχόμενον ἀπὸ σπονδείου καὶ λῆγον εἰς σπονδεῖον

ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί (*B* 1).

Ὑπόρρυθμον δέ ἐστι τὸ καθ' ἕκαστον πόδα ἀπαρτίζον εἰς μέρος λόγου, οἷον

ὕβριος εἵνεκα τῆσδε, σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν (*A* 214).

Τέλειον δέ ἐστι τὸ ἔχον πάντα τὰ μέρη τοῦ λόγου, οἷον

πρὸς δ' ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέαιρε (*X* 59).

Πολιτικὸν δέ ἐστι τὸ ἄνευ πάθους ἢ τρόπου πεποιημένον, οἷον

ἵππους τε ξανθὰς ἑκατὸν καὶ πεντήκοντα (*Λ* 679).

ὅπερ ταὐτόν ἐστι τῷ λογοειδεῖ.

[*Κεφ. ιά'.*] ***Περὶ ἐπῶν χωλῶν*** (***ἢ παθῶν τοῦ ἡρωϊκοῦ.***) *Γίνονται τὰ ἔπη χωλὰ· ἢ κατὰ πλεο-*

26 Prorsus hoc capite a reliquorum librorum lectione discrepat S, de qua re cf. annotatio nostra ad Drac. p. 137 H.

νασμὸν ἢ κατ' ἔνδειαν. Ἑκατέρου δὲ τούτων διαιρουμένου κατά τε τὴν ἀρχήν, τὸ μέσον καὶ τὸ τέλος, γίνονται τρόποι ἕξ· ἐν μὲν τῇ ἀρχῇ δύο, ὁ προκέφαλος καὶ ἀκέφαλος· ἐν τῷ μέσῳ δὲ ὁ προκοίλιος καὶ ὁ λαγαρός· ἐν δὲ τῷ τέλει ὁ δολιχόουρος, ὃν καὶ μακροσκελῆ φασί, καὶ ὁ μείουρος, οὓς καὶ πάθη τῶν στίχων φασί.

Προκέφαλος οὖν ἐστίν, ὅταν ἐν ἀρχῇ πλεονάσῃ συλλαβῇ, ὡς ἐν τῷ

ἢ εἰπέμεναι δμωῇσιν Ὀδυσσῆος θείοιο (δ 682).

καὶ ἐν τῷ

ἢ οὐχ ἅλις ὅττι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις.

πλεονάζει γὰρ ἐν τούτοις ἀμφοτέροις τὸ η.

Ἀκέφαλος δέ, ὅταν ἐν τῇ ἀρχῇ ἐλλείπῃ χρόνῳ, ὡς ἐν τῷ

ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

καὶ ἐν τῷ

ὃς ἤδει τά τ' ἐόντα (*A* 70).

λείπει γὰρ ἐν τούτοις τῷ πρώτῳ ποδὶ χρόνος εἷς πρὸς τὴν τοῦ μέτρου σύστασιν.

Προκοίλιος δέ, ὅταν ἐν τῷ μέσῳ πλεονάσῃ ἢ συλλαβῇ ἢ χρόνῳ· συλλαβῇ μέν, ὡς ἐν τῷ

θώρηκας ῥήξειν δηΐων ἀμφὶ στήθεσσιν (*B* 544).

πλεονάζει γὰρ ἐν δηΐων ἡ ι. χρόνῳ δέ, ὡς ἐν τῷ

Ἀτρεῖδαί τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί (*A* 17).

πλεονάζει γὰρ ἐν τῷ καὶ χρόνος.

Λαγαρὸς δέ, ὃν τινες καὶ σφηκοειδῆ καλοῦσιν, ὁ κατὰ τὸ μέσον ἐλλιπὴς χρόνῳ ἢ συλλαβῇ, ὡς ἐν τῷ

βῆ δ' εἰς Αἰόλου κατὰ δώματα (*κ* 60).

ἐλλείπει γὰρ κατὰ τὸ ο χρόνος ἢ συλλαβή.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Φασὶ δέ τινες καὶ περὶ τούτων, ὅτι ὁ ποιητὴς εὐφωνίας μᾶλλον ἢ μέτρου φροντίζων ἔστιν ὅπου τῆς τοῦ μέτρου ἀκριβείας ὑπερορᾷ· καὶ τοῦτο δῆλον ἐκ τοῦ

Τρῶες δ' ἐρρίγησαν, ἐπεὶ ἴδον αἰόλον ὄφιν.

ἠδύνατο γὰρ εἰπεῖν

Τρῶες δ' ἐρρίγησαν, ὅπως ὄφιν αἰόλον εἶδον·

ἢ ὅτι ἐνταῦθα ὁ ποιητὴς ᾔσθετο τῆς τοῦ δασέος φ ἐκφωνήσεως, πλέον τι ἐχούσης διὰ τὴν σφοδρότητα τοῦ πνεύματος, ὡς καὶ Ἡλιοδώρῳ δοκεῖ τῇ δασείᾳ πλέον τι νέμειν. Τὸ αὐτό φασι καὶ περὶ τοῦ Ζεφυρείην. Ἀλλὰ κατὰ τοῦτον τὸν λόγον δόξειεν ἂν κἀν τούτῳ τὴν ξε συλλαβὴν μακρὰν εἶναι διὰ τὴν του δασέος φ ἐπαγωγήν, ὡς καὶ ἐν τῷ ὄφιν. Ἀλλ' ἡ ρει συλλαβὴ διὰ διφθόγγου γραφομένη οὐκ ἐᾷ τὸν λόγον τοῦτον ἅπταιστον προβῆναι· οὐ γὰρ δύναται διὰ τῶν τριῶν τούτων συλλαβῶν δάκτυλος συνίστασθαι, εἰ μή που τὴν ρει συλλαβὴν διὰ τοῦ ι φήσειε γράφεσθαι. Ἤδη δέ τινες καὶ τοῦ Βορέης τὴν ρε καὶ ης συλλαβὴν ἐπεχείρησαν διὰ συνιζήσεως εἰς μίαν μακρὰν συνάπτειν, λέγοντες ὡς μετὰ τὴν βο συλλαβὴν τοῦ ρ ἐπιφερομένου, ὅπερ ὡς φωνῆεν καταλογίζεται — διὰ τοῦτο γὰρ καὶ δασύνεται ἐν πάσῃ ἀρχῇ λέξεως —, οὐδὲν ἔσται ἐμπόδιον κοινὴν γενέσθαι συλλαβήν. Ἀκέφαλος οὖν πάντῃ ἀθεράπευτός ἐστιν, ὡς ἐν τῷ

ἔως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν (*A* 193).

καὶ ἐν τῷ

ἔως ἐγὼ περὶ κεῖνα (δ 90).

20 τὴν ρε καὶ ης συλλαβὴν Pauw, τὴν βο καὶ ρε συλλαβ. libb.

οὐδεμιᾷ γὰρ μηχανῇ οὔτε διὰ συνιζήσεως οὔτε διὰ κοινῆς συλλαβῆς δύναται θεραπευθῆναι· καὶ εἰσὶν ὁμολογουμένως πάθη. Τούτοις ὅμοιόν ἐστι καὶ τὸ

ἐπίτονος βέβλητο βοὸς ῥινοῖο τετευχώς (μ 423).

(***Περὶ εἰδῶν τοῦ ἡρῴου.***) *Εἰσὶ δὲ καὶ εἴδη στίχων ἕξ· ἰσόχρονος, ἀπηρτισμένος, τραχύς, μαλακοειδής, κακόφωνος καὶ λογοειδής. Ἰσόχρονος μὲν οὖν ἐστίν, ὁ τὰ μεγέθη τῶν συλλαβῶν καὶ τοὺς πόδας ἀπὸ τῶν πρώτων μέχρι τῶν ἐσχάτων τὰ αὐτὰ ἔχων, ἤγουν ἐξ ὅλων σπονδείων συγκείμενος, ὡς τὸ*

τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν (φ 15).

Ἀπηρτισμένος ὁ διάνοιαν αὐτοτελῆ ἔχων ἐν αὑτῷ, οἷον

ὡς εἰπὼν πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ (*Η* 1).

Τραχὺς δέ ἐστιν ὁ τὸν ῥυθμὸν τῶν φθόγγων ἐκ τραχυτέρων λέξεων συνιστῶν, οἷον

τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός (*Γ* 363).

Μαλακοειδὴς δέ ἐστιν ὁ λείως ἐμπίπτων ταῖς ἀκοαῖς, οἷον

αἵματί οἱ δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι (*Ρ* 51).

Κακόφωνος δέ ἐστιν, ᾧ πολλὰ φωνήεντα πρόσεστιν, οἷον

φήμῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ (λ 127).

Λογοειδὴς δέ ἐστιν ὁ πεζότερος τῇ συνθέσει, οἷον

ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα (*Λ* 680).

[*Κεφ. ιβ.*] *ΠΕΡΙ ΤΟΥ ΕΛΕΓΕΙΟΥ. Τὸ δὲ ἐλε-*

28 *περὶ τοῦ ἐλεγείου* — p. 172, 8 *τὴν δὲ πέμπτην ἐξ ἀναπαίστου* add. N, om. rell.

γεῖον μέτρον τινὲς μὲν πεντάμετρον αὐτό φασιν εἶναι, συντιθέντες τὰς μὲν δύο χώρας αὐτοῦ, τὴν πρώτην καὶ τὴν δευτέραν, ἀπὸ δακτύλου καὶ σπονδείου ἀδιαφόρως ἢ ἀμφιμάκρου ἢ παλιμβακχείου, καθαρῶν μέντοι καὶ ἐν τάξει δακτύλων κειμένων, ὡς καὶ ἐν τῷ ἡρωϊκῷ εἴρηται· τὴν δὲ τρίτην ἐκ σπονδείου· τὴν δὲ τετάρτην ἐξ ἀναπαίστου· τὴν δὲ πέμπτην ἐξ ἀναπαίστου ἢ χορείου, διὰ τὸ ἀδιάφορον τῆς τελευταίας συλλαβῆς. Βέλτιον δὲ οὕτω μετρεῖν· ἐπεὶ καὶ εἰς δύο διῄρηται πενθημιμερῆ εἰς μέρος λόγου ἀπαρτιζόμενα κατὰ τὴν τομήν, πενθημιμερὲς δέ ἐστι τὸ ἐκ δύο ποδῶν καὶ συλλαβῆς· ἐπιδέχεται οὖν κατὰ τὴν πρώτην καὶ δευτέραν χώραν δάκτυλον καὶ σπονδεῖον ἀδιαφόρως, ἢ καὶ παλιμβάκχειον ἢ ἀμφίμακρον, θεραπευομένους, ὡς εἴρηται· εἶτα συλλαβὴν μακρὰν ἀπαρτιζομένην εἰς μέρος λόγου· καὶ μετὰ ταύτην πάλιν ἕτερον πενθημιμερὲς ἐκ δύο δακτύλων καὶ συλλαβῆς ἀδιαφόρου, οἷον

Νηΐδες οἳ μούσης οὐκ ἐγένοντο, φίλοι.

τούτου γὰρ ἡ τομή ἐστιν ἐν τῷ μούσης. Ἀλλὰ τὸ μὲν πρῶτον πενθημιμερές ἐστιν ἐκ δακτύλου καὶ σπονδείου καὶ συλλαβῆς μακρᾶς, ὅπερ ἔστιν ὅτε καὶ ἀμφοτέρους τοὺς πόδας ἐπιδέχεται δακτύλους ἢ σπονδείους ἢ καὶ τὸν πρῶτον σπονδεῖον καὶ τὸν δεύτερον δάκτυλον· τὸ δὲ δεύτερον πενθημιμερὲς πάντως ἔχει δύο δακτύλους καὶ συλλαβὴν ἀδιάφορον.

Ἰστέον ὅτι οἱ ἀρχαῖοι ἐποίουν στίχους δύο μείζους καὶ ἕνα ἐλάττονα. Τῶν οὖν μειζόνων τὸν πρότερον στροφὴν ἐκάλουν, παρὰ τὸν βωμὸν ἐν ταῖς ἑορταῖς ᾄδοντες αὐτὸν καὶ χορεύοντες· τὸν δὲ δεύ-

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

οὖν, ὡς τὸ μέν ἐστι καθαρόν, καὶ μόνον ἀναδεχόμενον σπονδεῖον, ἰσόχρονόν τε καὶ ὁμοίως ἀρχόμενον· τὸ δὲ ἀναπαιστικὸν εἰσεδέξατο καὶ τὸν προκελευσματικόν. Ἔστιν οὖν αὐτοῦ καὶ ὁ δάκτυλος ἢ σπονδεῖος ὢν διαλελυμένος ἢ προκελευσματικὸς συνηρημένος, ἄλλως τε κατὰ διποδίαν βαινόμενος. Εἰ ἐν ἡρῴῳ δὲ δακτυλικῷ ἀνάπαιστος ἐπεφαίνετο, χαυνότητα ἐνεποίει (ἂν) διὰ τὸ ἀλλεπάλληλον τῶν βραχειῶν. Ἐν μέντοι ἀναπαιστικῷ ὁ δάκτυλος κεκριμένην τὴν σύνταξιν ποιεῖται τῆς μίξεως. Τίνος δὲ χάριν τὸ μὲν κατὰ πόδα, τὸ δακτυλικόν, τὸ δὲ ἀναπαιστικὸν κατὰ διποδίαν βαίνεται, ἐξῆς ἐροῦμεν.

Ζητήσειε δ' ἄν τις τί δήποτε τὸ μὲν δακτυλικὸν βαίνεται κατὰ πόδα, τὸ δὲ ἀναπαιστικὸν οὔ. Εἴρηται δέ, ὅτι τὸ δακτυλικὸν διὰ τὴν ἐν αὐτῷ ἰσότητα βαίνεται κατὰ πόδα, τὸ δ' αὐτὸ δ' ἄν τις εὕροι καὶ ἐν τῷ ἀναπαιστικῷ· καὶ γὰρ ἐν αὐτῷ πάντας ἄν τις εὕροι τετρασήμους ὄντας. Φαμὲν οὖν, ὅτι οὐδὲν μέτρον ἐστὶν ὑπὲρ τὸ ἑξάμετρον. Ἐπεὶ τοίνυν τὸ ἀναπαιστικὸν εὕρηται πολλάκις καὶ ἐξ ἑπτὰ καὶ ὀκτὼ ἁπλῶν συγκείμενον, ἐδέησεν ἡμᾶς αὐτὸ βῆναι κατὰ διποδίαν, ἵνα τὸ ἐξ ὀκτὼ ποδῶν τετράμετρον ἀλλὰ μὴ ὀκτάμετρον προσαγορεύηται. Ὅτι δὲ τοῦθ' οὕτως ἔχει, δῆλον· ἐὰν γὰρ ὑπερβῇ τὸ δακτυλικὸν τὸ ἑξάμετρον, κἀκεῖνο βαίνεται κατὰ διποδίαν· ἐὰν μέντοι ἐντὸς ᾖ τοῦ ἑξαμέτρου, τὴν

5 σπονδεῖος ὢν διαλελυμένος ἢ προκελ. — 8 διὰ τὸ ἀλλεπάλληλον M, ὁ σπονδεῖος διαλελυμένος προκελευσματικὸς συνηρτημένος διὰ τὴν μῖξιν, τόπον ἔσχε μαθεῖν ὅτι ἐν ἡρῴῳ δακτύλῳ ἐπαγόμενος ἀνάπαιστος χαυνότατον ποιεῖ διὰ τὸ ἀλλεπάλληλον S 7 ἡρῴῳ δὲ δακτυλικῷ] ἡ. δὲ δακτύλῳ MGaisf. 8 ἐνεποίει ἄν] ἄν om. libb.Gaisf. 21 αὐτὸ μὴ βῆναι M 26 τοῦ] τῆς libb.

ἐξουσίαν ἔχει βαίνεσθαι κατὰ μονοποδίαν. Δέχεται δὲ πόδας αὐτὸν τὸν ἀνάπαιστον, ἀφ' οὗ καὶ τὸ μέτρον ὠνόμασται, σποὐδεῖον, ὅτι συναίρεσις τοῦ ἀναπαίστου, προκελευσματικὸν δέ, ὅτι λύσις τῆς ἐσχάτης μακρᾶς εἰς δύο βραχείας, τὸν δὲ δάκτυλον, ὅτι τετράσημος. MS.

Τόνδ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.

ἀφελομένης τῆς τόνδ' συλλαβῆς, ἀναπαιστικὸν γίνεται

ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς. Tu.

2. *καὶ Λογγῖνος*] *Τοῦτό τινες μὲν ὡς στίχον μετροῦσιν, ἀρχόμενοι ἀπὸ τοῦ οἳ τοὺς ἰαμβούς, τινὲς δὲ λέγουσι τίθεσθαι αὐτὸ εἰς μνήμην τῶν Ἀριστοξένου λόγων.* Tu. *Τοῦτο ὡς πρὸς τὸ ἑρμηνευκέναι μόνον τοῦ Ἀριστοξένου τὸν Ἐπίχαρμον κεῖται, οὐχ ἕνεκα τοῦ μέτρου.* S.

Ἐπίχαρμος μνημονεύει] *Ὁ Ἐπίχαρμος τὸ οἰκεῖον δρᾶμα οὕτως ἐκάλεσε Λόγον καὶ Λογίαν.*

3. Cf. Steph. Byz. *Τελμισσός — δρᾶμα Ἀριστοφάνους Τελμισσεῖς. Λέγεται δὲ τετρασυλλάβως Τελεμισσεῖς, ὡς αὐτὸς ἐν τούτῳ Ὡς ἄν τις ἂν οὖν ἤ τι ποιήσας, ὡς Τελεμισσεῖς. καὶ πάλιν Φέρε δὴ τοίνυν ταῦθ' ὅταν ἔλθῃ τί ποιεῖν χρή μ' ᾧ Τελεμισσεῖς. Ἔστι δὲ τὸ μέτρον ἀναπαιστικὸν τετράμετρον καταληκτικόν, οὗ πρὸ τῆς τελευταίας συλλαβῆς ἀνάπαιστος τάττεται, σπανιαίτατα δὲ σπονδεῖος.*

4. *παροιμιακὸν*] *Εἰσὶ διάφοροι παροιμίαι φερόμεναι διαφόρων ἐν διαφόροις μέτροις· καὶ γὰρ ἐν*

1 *βαίνεσθαι κατὰ διποδίαν* M 8 *ἀφελομένης τῆς τόνδ' σ.*] *ἀ. τ. τὸν σ.* libb.Gaisf. 28 *καὶ γὰρ ἐν στίχοις*] *κ. γ. ἐκ στίχοις* libb.(?)Gaisf.

στίχοις καὶ ἐν ἰάμβοις καὶ ἐν ἐλεγείοις καὶ ἀναπαίστοις, οἷον

ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα,

εἰσὶν οὕτω φερόμεναι καὶ ἀδέσποτοι, οἷον ἀνεπίγραφοι.

5. οὐκ εἰκότως παροιμιακὸν] Οὐ καλῶς λέγει τοῦτο ὁ Ἡφαιστίων (ὅτι οὐ καλῶς λέγεται παροιμιακόν, ἐπειδὴ καὶ ἐν ἰάμβοις καὶ ἐν ἔπεσιν εὑρίσκονται παροιμίαι καὶ οὐ μόνον τοῦ μέτρου τούτου. Φαμὲν γὰρ ὅτι οὐδὲν πρᾶγμα S), οὐδὲν γὰρ πρᾶγμα παροιμιακὸν αὐτὸ καλεῖσθαι, εἴ τινες γράψαντες παροιμίας κατεχρήσαντο τῷ μέτρῳ, καίτοι καὶ ἰαμβικῶν καὶ ἐπικῶν οὐσῶν παροιμιῶν. Ὡς γὰρ τὸ Ἀριστοφάνειον μέτρον, καίπερ Ἀριστοφάνους μὴ εὑρηκότος, ὅμως τῷ καταχρήσασθαι τοῦτον αὐτῷ, ὠνομάσθαι οὕτω τὸ μέτρον παρέσχετο· ὡσαύτως κἀνταῦθα· ὥστε μάτην ὁ Ἡφαιστίων ἐμέμψατο.

6. καὶ ἰάμβῳ] Καλῶς πάνυ ὁ Λογγῖνος ἐπέστησε τὴν αἰτίαν, δι' ἣν δέχεται τὸ μέτρον τοῦτο ἴαμβον· καὶ φησίν, ὅτι ἐν τῷ δακτυλικῷ μέτρῳ μετὰ τὸν τρίτον τροχαῖον ἴαμβος εὑρίσκεται, καὶ οἱ ἄλλοι ἀνάπαιστοι, οἷον „τόνδ' ἀπαμειβόμενος προσ" τροχαῖος καὶ „ἔφη πόδας ὠκὺς Ἀχιλλεύς", λοιπὸς ἴαμβος καὶ ἀνάπαιστοι.

7. ἴαμβον ἔχει] Τοῦτό φησιν, ὅτι καὶ τὸ ἐρέω καὶ τὸ φιλέειν ἴαμβοι γίνονται κατὰ συνίζησιν τῶν δύο ἓν γινομένων, ἐρῶ, φιλεῖν, καὶ ἔστιν, ὡς ἔοικε,

12 καίτοι καὶ ἰαμβικῶν MS, καὶ om. Tu 15 καταχρήσασθαι τοῦτον αὐτῷ MTu, κ. τοῦ S 18 ἐπέστησε S, ἐποίησε MTu 20 δακτυλικῷ μέτρῳ Tu, δ. μέτρῳ στίχος M, δ. στίχῳ S μετὰ τὸν τρίτον τροχαῖον] μετὰ τὸν πρῶτον τροχαῖον libb. Gaisf. 22 ἀνάπαιστοι Gaisf., om. libb. 24 Cf. p. 204 schol. 13.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



σπανίως δὲ καὶ προκελευσματικόν· παρὰ δὲ τοῖς δραματοποιοῖς καὶ ἴαμβον καὶ δάκτυλον. ἔχει δὲ καὶ ἀποθέσεις ἕξ, βραχυκατάληκτον, καταληκτικὸν εἰς συλλαβήν, καταληκτικὸν εἰς δισύλλαβον, ἀκατάληκτον, ὑπερκατάληκτον εἰς συλλαβήν, ὑπερκατάληκτον εἰς δισύλλαβον. Δίμετρον μὲν καταληκτικὸν εἰς συλλαβὴν ὃ καὶ παροιμιακὸν καλεῖται τὸ

ποτὲ δ' Ἄρτεμις οὐκ ἐχόρευσε·

καὶ κόρκορος ἐν λαχάνοισιν.

τούτῳ δὲ καὶ Κρατῖνος καὶ Ἀρχίλοχος ἐχρήσαντο. Τρίμετρον δὲ καταληκτικὸν εἰς συλλαβὴν τὸ καλούμενον Σιμμίειον τὸ

ἱστία ἁγνὰ ἀπ' εὐξείνων μέσα τοίχων.

Τετράμετρον δὲ καταληκτικὸν τὸ καλούμενον Ἀριστοφάνειον, ᾧ καὶ Ἀριστόξενος καὶ Ἐπίχαρμος καὶ Κρατῖνος ἐχρήσαντο τὸ

ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν, καὶ σωφροσύνη νενόμιστο.

Ἀναπαιστικὸν δὲ τετράμετρον τὸ διὰ προκελευσματικῆς ἐκλύσεως τῶν ἀναπαίστων γινόμενον, ἔστι τὸ Ἀριστοφάνους τὸ

τίς ὄρεα βαθύκομα τάδ' ἐπέσυτο βροτῶν.

Ἔστι δὲ καὶ λογαοιδικὸν ἀναπαιστικὸν ὅπερ ἐν μὲν ταῖς ἄλλαις χώραις τοὺς αὐτοὺς ἐπιδέχεται πόδας τῷ ἀναπαιστικῷ καθαρῷ, ἐν δὲ τῷ τέλει ἴαμβον καὶ συλλαβὴν ἀδιάφορον, τοῦτ' ἔστιν ἢ βακχεῖον ἢ ἀμφίβραχυν. Ἔστι δὲ ἐπισημότατον αὐτοῦ τὸ καλούμενον Ἀρχεβούλειον, ᾧ καὶ Καλλίμαχος ἐχρήσατο, ἔχον τὸν πρῶτον πόδα ἀνάπαιστον ἢ σπονδεῖον ἢ ἴαμβον· τοὺς δὲ ἑφεξῆς πάντας ἀναπαίστους οἷον

ἀγέτω θεός· οὐ γὰρ ἔχω δίχα τῶνδ' ἀείδειν.
νύμφα σὺ μὲν ἀστερίαν ὑφ' ἅμαξαν ἤδη.
φιλωτέρα ἄρτι γάρ οἱ Σικελὰ μὲν Ἔννα.

ἐν τοῖς διὰ μέσου ἀνάπαίστοις δ' Ἀλκμὰν καὶ σπονδείους παραλάμβάνει.

Εἰς κεφ. ϑ΄: Περὶ χοριαμβικοῦ

ΣΧΟΛ. Α.

1. Τὸ χοριαμβικὸν δέχεται τὸν χορίαμβον καὶ τὰς ἰαμβικὰς συζυγίας· ὅτε δὲ καταληκτικόν ἐστι, τότε τὸν τελευταῖον βακχεῖον ἢ ἀμφίβραχυν ἢ δάκτυλον ἢ κρητικὸν, τὸν καὶ ἀμφίμακρον συνεχέστερον. Γίνεται δὲ καὶ διαλυομένης τῆς πρώτης μακρᾶς εἰς δύο βραχείας πεντασύλλαβος ἐκ χορείου καὶ ἰάμβου· ὅθεν ἴσως καὶ χοριαμβικὸν ἐκλήθη. Μὴ διαλελυμένης γὰρ τῆς πρώτης μακρᾶς ἔδει μᾶλλον τροχιαμβικὸν καλεῖσθαι. (Ἐπεὶ δὲ διαλύεται ἡ πρώτη μακρά, χοριαμβικὸν κέκληται. MTu.) Ὁ γὰρ χορίαμβος ἐκ τροχαίου καὶ ἰάμβου σύγκειται, ἤγουν ἐκ μακρᾶς καὶ δύο βραχειῶν καὶ μακρᾶς.

2. ἐπίμικτον] Ἐπίμικτα καλεῖται τὰ ἔχοντα ἐπιμίκτους συζυγίας· ἐπίμικτα δὲ καθὸ καθ' ἑαυτὸν μικτὸς ὁ χορίαμβος, ὡς καὶ οἱ ἄλλοι τετρασύλλαβοι, ἐκ δύο ποδῶν ἁπλῶν ὄντες. Εἰ οὖν καθ' αὑτὸν μικτός (ἐστιν) ἄλλο ὁ προσλαβών, ἐπίμικτος ἔσται.

---

13 ἐκ χορείου καὶ ἰάμβου — 19 δύο βραχειῶν καὶ μακρᾶς male Gaisf. cum Tyrwhitto uncinis inclusit. 16 τροχιάμβικὸν S, τροχαϊκὸν MTu 18 ἤγουν μακρᾶς MTu, ἐκ μακρᾶς om. S 20 καλεῖται S, καλεῖ MTu 24 μικτός (ἐστιν) ἄλλο ὁ προσλαβών] ἐστι om. libb., ὁ om. STuGaisf., ἀλλ' ὁ M

3. *ἀδιάφορον*] *Ἡ γὰρ τελευταία ἀδιάφορος οὖσα ἅμα τῷ ἰάμβῳ βακχεῖον ποιεῖ ὅτε μακρά ἐστιν, ἢ ἀμφίβραχυν ὅτε βραχεῖά ἐστιν, εἰς τὴν χοριαμβικὴν καταληξιν.* *Δάκτυλον*] *Ὁ γὰρ δάκτυλος παρὰ τὴν τελευταίαν μακρὰν χορίαμβός ἐστιν, οἷόν ἐστι κἂν ταῦθα τὸ μείρακες.*

4. *ἰστοπόνοι*] *Τὸ ἰστοπόνοι μείρακες χοριαμβικὸν δίμετρόν ἐστι. Μετρεῖται δὲ κατὰ διποδίαν καὶ τοῦτο, δηλαδὴ τὸ χοριαμβικόν. μόνον γὰρ τὸ δακτυλικὸν βαίνει κατὰ μονοποδίαν (καὶ ἡ αἰτία προείρηται* M). *Ἐπεὶ οὖν οἱ τετρασύλλαβοι πόδες οὐκ εἰσὶν ἁπλοῖ, ἀλλὰ διπλοῖ, ὥσπερ καὶ ὁ χορίαμβος — διπλοῦς γάρ ἐστιν ἐκ τροχαίου καὶ ἰάμβου —, οὐ δύνανται κατὰ μονοποδίαν μετρεῖσθαι ὡς τὸ δακτυλικόν· καὶ τούτου ἕνεκεν φαίημεν ἂν εἶναι τὸ παρὸν χοριαμβικόν, τὸ ἰστοπόνοι μείρακες, δίμετρον καταληκτικόν, ἐκ τροχαίου καὶ ἰάμβου, καὶ αὖθις τροχαίου καὶ βραχείας συλλαβῆς περιττῆς. Οὕτω μὲν οὖν ὅταν ὡς ἁπλοῦς αὐτοὺς θεωρῶμεν, ἐπεὶ ἔν γε τῇ συνθέσει, ἄλλως ἕξει τὰ κατ' αὐτούς. Αὐτίκα γὰρ τοῦ ἰστοπόνοι μείρακες ἔστι χορίαμβος ὁ πρῶτος πούς, ὁ δὲ τελευταῖος περαιοῦται εἰς δάκτυλον.*

5. *οὐδὲ λεόντων*] *Τὸ οὐδὲ λεόντων σθένος οὐδὲ τροφαὶ ἀμφίμακρός ἐστιν ἀντὶ δακτύλου δηλονότι.*

6. *λευκωλένου*] *Ὁμοίως καὶ τὸ ὠλένου ἀμφίμακρος ἀντὶ δακτύλου. Εἰς γὰρ δάκτυλον γίνεται ἡ κατακλείς, τῶν πρώτων χοριάμβων ὄντων.*

7. *Αἰολοσίκων δρᾶμα γέγονε πρῶτον καὶ δεύτε-*

4 *Δάκτυλον*] inseruit Pauw *διὰ τ. τελευταίαν* S, *περὶ τ. τ.* MTu, *παρὰ τ. τ.* correxit Pauw. 5 *χορίαμβος*] *κρητικὸς* Gaisf. 15 *καὶ τούτου ἕνεκεν*] *καὶ* om. M 21 *τοῦ ἰστοπόνοι* Pauw, *τὸ ἰστ.* libb. 23 *Τὸ δὲ οὐδὲ* M 25 *ἀμφίμακρος* M, *ἀμφίμακρον* TuS

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

εἶναι τραγῳδοί· διὸ καὶ Πλειὰς ὠνομάσθησαν· ὧν εἷς ἐστὶν οὗτος ὁ Φίλικος. Ἐπὶ Πτολεμαίου δὲ γεγόνασιν οὗτοι ἄριστοι τραγικοί· εἰσὶ δὲ οὗτοι, Ὅμηρος νεώτερος, Σωσίθεος, Λυκόφρων, Ἀλέξανδρος, Φίλικος, Διονυσιάδης, ...

εἷς ὢν τῆς Πλειάδος] Ἐπὶ τῶν χρόνων Πτολεμαίου τοῦ Φιλαδέλφου ἑπτὰ ἄριστοι γεγόνασι τραγικοί, οὓς Πλειάδα ἐκάλεσαν διὰ τὸ λαμπροὺς εἶναι ἐν τῇ τραγικῇ ὥσπερ ἄστρα τὰ ἐν Πλειάδι. Εἰσὶ δὲ οὗτοι· Ὅμηρος, οὐχ ὁ ποιητὴς ἀλλ' ὁ Μυροῦς υἱὸς τῆς Βυζαντίας ποιητρίδος καὶ Σωσίθεος καὶ Λυκόφρων καὶ Ἀλέξανδρος καὶ Αἰαντιάδης καὶ Σωσιφάνης καὶ Φίλικος. (Τινὲς ἀντὶ τοῦ Αἰαντιάδου καὶ Σωσιφάνους Διονυσιάδην καὶ Εὐφρόνιον τῇ Πλειάδι συντάττουσιν. Οὗτος δὲ ὁ Φίλικος οὐκ ἐφεῦρε πρῶτος τὸ τοιοῦτου μέτρον, ἀλλ', ὡς φησιν ὁ μετρικὸς πρῶτος, ὅλα οἱονεὶ εἰς ὁλόκληρα ποιήματα ἐκ τούτου τοῦ μέτρου ἐποίησεν. Αὕτη δὲ ἡ χρῆσις ἣν περιφέρει αὐτοῦ οὐκ ἔστι στίχος ἀλλὰ περίοδος· ὑπερβαίνει γὰρ τὸ δυοτριακοντάσημον· ἡ δὲ Καλλιμάχου πεντάμετρος οὖσα οὐχ ὑπερβαίνει. Ἰστέον δὲ ὅτι οὐδέποτε τριακονταδύο χρόνους ὑπερβαίνει μέτρον, ἐπεὶ εἰς περίοδον ἐμπίπτει. S.)

12. ἔν τε τῷ Πελέκει] Σύγγραμμα ὁ Πέλεκυς. Ἐπεὶ κατὰ μίμησιν πελέκυος συντέθεικε, μακρὰν ἑκατέρωθεν θεὶς καὶ ἐν τῷ μέσῳ ἔστι δὲ καὶ Σφαῖρα καὶ Θρόνος σύγγραμμα καλούμενον.

2. 5 Φίληκος M 8 Πλειάδα] Πλειάδας libb. Gaisf. 10 ὁ Μυροῦς υἱὸς] υἱὸς ὁμηροῦς libb. 13. 15 Φιλίσκος aut Φυλίσκος libb. 25 συντέθεικε μακρὰν ἑκατέρωθεν θεὶς καὶ ἐν τῷ μέσῳ S, συντέθειται μακρὰν γὰρ ἑκατέρωθεν τέθεικεν MTu

Εἰς κεφ. ι'. Περὶ ἀντισπαστικοῦ

ΣΧΟΛ. Α.

1a. Τὸ ἀντισπαστικὸν] Τὸ ἀντισπαστικὸν δέχεται τὸν πρῶτον πόδα ἀντίσπαστον ἢ ἐπίτριτον τέταρτον ἢ παίωνα τρίτον ἢ διτρόχαιον, τὰς δὲ μέσας ἀντισπαστικὰς καὶ ἰαμβικάς, τὴν δὲ τελευταίαν ὅτε ἐστὶν ἀκατάληκτον ἰαμβικήν, ὅτε δὲ καταληκτικόν (βακχεῖον· τὴν δὲ ἀντισπαστικὴν) τὴν ταῖς ἰαμβικαῖς ἑπομένην συζυγίαν, τρεπομένην κατὰ τὸν πρῶτον πόδα εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα.

1b. Ἰστέον δ' ὅτι παρέλειψέ τινα τοῦ ἀντισπαστικοῦ μέτρου ὁ τεχνικός· ἀλλὰ δεῖ λέγειν ὡς πολλοὶ τῶν ἄλλων μετρικῶν φασίν, ὅτι δέχεται τὸν πρῶτον πόδα ἀντίσπαστον ἢ ἐπίτριτον τέταρτον τουτέστιν ἐκ τριῶν μακρῶν καὶ μιᾶς βραχείας, ἢ παίωνα τρίτον τουτέστιν ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας, ἢ διτρόχαιον ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας, τὰς δὲ μέσας ἀντισπαστικὰς καὶ ἰαμβικάς, τὴν δὲ τελευταίαν ὅτε ἐστὶν ἀκατάληκτον ἰαμβικήν, ὅτε δὲ καταληκτικὸν (βακχεῖον·) καὶ (τὴν) ταῖς ἰαμβικαῖς ἑπομένην συζυγίαν (ἀντισπαστικὴν τρεπομένην κατὰ τὸν πρῶτον πόδα εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα). Τρέπεται δὲ ὁ πρῶτος πούς ἔστιν ὅτε ὡς φησιν εἰς τὰ δ' σχήματα τοῦ δισυλλάβου, οἷονεὶ

5 παίωνα τρίτον] π. δεύτερον M, π. α S 8 (βακχεῖον· τὴν δὲ ἀντισπαστικὴν) om. libb.Gaisf. 10 τὰ τέσσαρα S, τὰ om. rell. 16 ἢ παίωνα τρίτον] ἢ π. δεύτερον libb.Gaisf. 17 ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας] ἐκ βραχείας καὶ μακρᾶς καὶ δύο βραχειῶν libb.Gaisf. 21 βακχεῖον· καὶ τὴν ταῖς ἰαμβικαῖς ἑπομένην συζυγίαν] καὶ ταῖς ἰαμβικαῖς ἑπόμενον συζυγίαις libb.Gaisf. 22 (ἀντισπαστικὴν — 24 σχήματα) om. libb.Gaisf.

πυρρίχιον καὶ σπονδεῖον καὶ ἴαμβον καὶ τροχαῖον. Καθόλου γὰρ ὁ πρῶτος ποὺς ἄλλο ἐστὶ καὶ ἄτακτος. Ἔστι δ' ὅτε αὐτὸς ὁ πρῶτος ποὺς σπονδεῖος ὢν δυνάμει λύεται εἰς δάκτυλον τῆς δευτέρας συλλαβῆς τοῦ σπονδείου διαλυομένης εἰς δύο βραχείας ἢ ἐκ τοῦ ἐναντίου εἰς ἀνάπαιστον τῆς πρώτης συλλαβῆς πάλιν διαλυομένης· ὁ δὲ τροχαῖος καὶ ὁ ἴαμβος εἰς τρίβραχυν, τῆς μακρᾶς πάλιν εἰς δύο βραχείας διαλυομένης· ὁ γὰρ πυρρίχιος ἐκ δύο βραχειῶν συγκείμενος οὐκ εἶχεν εἰς τί διαλύεσθαι.

2. Ἐὰν δὲ ἀναμίσγηται ταῖς ἰαμβικαῖς τὰ ἀντισπαστικά, οὐ μόνον ἔχει τὴν πρώτην συζυγίαν τρεπομένην κατὰ τὸν πόδα τὸν δεύτερον, ἀλλὰ καὶ (τὴν) ταῖς ἰαμβικαῖς ἑπομένην.] Ὃ θέλει εἰπεῖν τοιοῦτόν ἐστι· ὅτι συμβαίνει τὰ ἀντισπαστικὰ οὐ μόνον τὴν πρώτην συζυγίαν παρανομεῖν, ἀλλ' ἐὰν ἐπιμίσγηται αὐτοῖς βάσις ἰαμβική, (ἡ) ἑπομένη τῇ ἰαμβικῇ παρανομοθήσεται παρὰ τὴν ἄρχουσαν· ὅτε δ' οὐκ ἀναμίσγεται αὐτῷ τὰ ἰαμβικά, καθαρεύει περὶ τὰς ἑξῆς ὁ ἀντίσπαστος. STu.

ἐὰν δέ που] Τοῦτό φησιν, ὅτι ἐὰν ἀναμίσγηται ταῖς ἰαμβικαῖς ὁ ἀντίσπαστος, οὐ μόνον ἔχει τὴν πρώτην συζυγίαν τρεπομένην κατὰ τὸν πρότερον πόδα εἰς τοὺς τέσσαρας πόδας τοὺς δισυλλάβους, ἀλλὰ καὶ μετὰ τὴν ἰαμβικὴν συζυγίαν τίθεται ὁ ἀντίσπαστος καὶ πάλιν ὁ πρῶτος αὐτοῦ ποὺς τρέπεται εἰς τοὺς τέσσαρας τοὺς δισυλλάβους. Ἔστι γὰρ ἡ πρώτη διποδία ἀντίσπαστος, ἡ δευτέρα ἰαμβικὴ καὶ ἡ τρίτη πάλιν ἀντίσπαστος καὶ τρέπεται κατὰ τὸν πρότερον πόδα.

11 ἀντισπαστικὰ S, ἀναπαιστικὰ Tu 17 ἡ ἑπομένη] ἡ om. libb.Gaisf.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



τρου ἀντισπαστικοῦ· ἔστι δὲ μονόμετρον ὑπερκατάληκτον, οἷον

ἐγὼ δ' οὔτε σοι —

ἔστι δὲ Εὐριπίδου Φοινισσῶν. Πολλὰ ῥυθμῶν ὀνόματα καὶ ἄλλα· ἀτὰρ δὴ καὶ ταῦτα, ἴαμβος ἰαμβικός, δάκτυλος δακτυλικός, παιών, ἐπίτριτος. Οὗτοι μὲν οὖν ὀρθοί εἰσι ῥυθμοί· ἐν ἰσότητι γὰρ κεῖνται· ἡ γὰρ μονὰς πρὸς δυάδα, ἡ δυὰς πρὸς τριάδα, ἡ τριὰς πρὸς (τε)τρ[ι]άδα[· ἡ τριὰς] πλεονεκτεῖται μονάδος. Ἐν τῷ δοχμιακῷ τριάς ἐστι πρὸς πεντάδα καὶ δυὰς ἡ πλεονεκτοῦσα. Οὗτος οὖν ὁ ῥυθμὸς οὐκ ἠδύνατο καλεῖσθαι ὀρθός· ἐκλήθη τοίνυν δοχμιακός, ἐν ᾧ τὸ τῆς ἀνισότητος μεῖζον (ἢ) κατὰ τὴν εὐθεῖαν κρίνεται. Καὶ τὸ μέτρον οὖν δοχμιακόν, ὡς ἐμπιπτόντων ἐν αὐτῷ τῶν ὀκτὼ χρόνων.

Schol. Aesch. Sept. v. 103: Ὁ μέντοι ὀκτάσημος ῥυθμὸς οὗτος πολύς ἐστιν ἐν θρηνῳδίᾳ καὶ ἐπιτήδειος πρὸς θρήνους καὶ στεναγμούς. Ἔστι δὲ δοχμιακά. Ὅμοιον τὸ

πόλεμος αἴρεται πρὸς ἐμὲ καὶ θεούς

παρὰ Ἀριστοφάνει ἐν Ὄρνισιν; ἀλλὰ καὶ παρ' Εὐριπίδῃ

ἐγὼ δ' οὔτε σοι πυρὸς ἀνῆψα φῶς νόμιμον ἐν γάμοις.

Idem ad v. 128: Καὶ ταῦτα δοχμι(α)κά ἐστιν καὶ ἴσας ἐάν τις αὐτὰ ὀκτασήμως βαίνῃ. Κυρίως δὲ εἶπον βαίνῃ· ῥυθμοὶ γάρ εἰσι· βαίνονται δὲ οἱ ῥυθμοί, διαιρεῖται δὲ τὰ μέτρα, οὐχὶ βαίνεται.

4. ἄνδρες] Ἐκ Κοριαννοῦς· ὡς κατὰ ἁπλοῦν δὲ πόδα βαῖνον, ἐφθημιμερὲς εἴρηται. Ἔστι δὲ ποδῶν ἁπλῶν τριῶν καὶ συλλαβῆς. Ἔστι δὲ ὁ πρῶτος ποὺς τέταρτος ἐπίτριτος, ἐκ τριῶν μακρῶν καὶ βραχείας, ἤτοι ἀντίσπαστος· εἶτα ἴαμβος καὶ συλλαβή.

5. ἐξευρήματι] Ἰστέον οὖν ὅτι τινὲς ἐῦρημά φασίν, ὅπερ οὐ δεῖ· εὕρηται μὲν γὰρ καὶ εὕρησις καὶ εὕρεσις· καὶ Ἀττικοί τινες ἑκατέρως φασίν· ἔστι γὰρ σύγγραμμα παρὰ Θεοφράστῳ περὶ εὑρέσεως·

ἀλλὰ διὰ τοῦ ε ἐν ἰάμβῳ

οὐχ εὕρεσις τοῦτ' ἔστιν, ἀλλ' ἀφαίρεσις·

ἐν τοῖς Ἐπιτρέπουσι καὶ εὕρημα διὰ τοῦ η

εὕρημα δ' οὐκ οἶσθ' οἷον εὕρηκας τόδε.

οὐ μὴν διὰ τοῦ ε εὕρεμα. S.

6. Καὶ πάλιν ποιεῖ τὸ ἀντισπαστικὸν τὸ καλούμενον Γλυκώνειον. Κωμικὸς δὲ ἦν ὁ Γλύκων, οὗ καὶ δρᾶμα φέρεται κωμικόν, οἱ Φράτορες. S.

7. καὶ κνίσσῃ] Μετὰ διποδίαν συλλαβὴ ἐπὶ τῶν ὑπερκαταλήκτων εὑρίσκεται: εἰσὶν οὖν δύο ἀντίσπαστοι καὶ συλλαβή.

8. Φαλλαίκειόν φησι μέτρον, οἱονεὶ Φιλίκειον ἀπὸ Φιλίκου τοῦ προειρημένου. Τὸ δὲ, χαῖρ' ὦ χρυσόκερως βαβάκτα κήλων Κρατίνου ἐστί. S.

χαῖρ' ὦ] Ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, ὃ καλεῖται Φαλαίκειον. Δέχεται δὲ ἕνα ἀντίσπαστον, ἤτοι τέταρτον ἐπίτριτον καὶ τρεῖς ἰάμβους καὶ συλλαβήν.

9. ἦλθες] Ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, ὃ καλεῖται Ἀσκληπιάδειον· ἔστι δὲ ποδῶν ἁπλῶν ἓξ, τὴν τελευταίαν μόνον ἔχον ἰαμβικήν, τὴν λεφαντίναν. Πρὸς τὸ ἄνω δὲ τὸ „τὸ μὲν καταληκτικόν, τὸ δὲ ἀκατάληκτον“ ἐπήγαγε τὸ Ἀσκληπιάδειον, ἐκ δύο τροχαίων καὶ ἀντισπάστου καὶ δύο ἰάμβων

10 ἀντισπαστικὸν] παιωνικὸν lib.Gaisf. Hoc scholion continuitate cohaeret in libro S cum scholio 3 de dochmiaco. 16 Φιλήκειον S 17. Φιλήκου S 25 τὴν λεφαντίναν STu, τὸ ἦλθες ἐκ M 26 δὲ τὸ STu; δὲ τῷ M

τελείων· ἀκατάληκτον γάρ ἐστι· καὶ τὸ ἑξῆς πάλιν, τρίμετρον ἀκατάληκτον, ἐκ δύο ἀντισπάστων καὶ ἐκ δύο ἰάμβων.

10. *κόλπῳ σ'*] *Ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, ὃ καλεῖται Ἀλκαϊκὸν δωδεκασύλλαβον, ποδῶν ἁπλῶν ἕξ, τῆς μέσης μόνης ἀντισπαστικῆς οὔσης, ἑκατέρωθεν δὲ ἰαμβικῆς. Ἀπὸ σπουδείου ἤρξατο τοῦ κόλπῳ. Ἡ μέση δὲ ἀντισπαστικὴ καὶ αὐτὴ ἀδιάφορον ἔχουσα τὸν πρῶτον πόδα· σπουδεῖος γάρ.*

11. *κατθνάσκει*] *Τὸ τετράμετρον καταληκτικόν ἐστιν, ἐκ τριῶν ἀντισπάστων καὶ ἰάμβου καὶ συλλαβῆς. Ἔστι δὲ ποδῶν ἁπλῶν ἑπτὰ καὶ συλλαβῆς.*

12. *καττύπτεσθε*] *Τέταρτος ἐπίτριτος, εἶτα ἀντίσπαστος, εἶτα ἀντίσπαστος καὶ ἴαμβος καὶ συλλαβή. Εἶτα πάλιν ἐπὶ τοῦ ,,οἴνου'' τέταρτος ἐπίτριτος, εἶτα ἀντίσπαστος, πάλιν ἀντίσπαστος, ἴαμβος καὶ συλλαβή.*

13. *Πριάπειον*] *Πριάπειον δὲ ἐκλήθη, ἐπειδὴ Εὐφορίων ὁ γραμματικὸς ἐπὶ τῶν Πτολεμαίων ἐν Ἀλεξανδρ(εί)ᾳ ἔγραψεν εἰς Πρίαπον τοῦτο τὸ μέτρον· καὶ ὥσπερ τὸ ἰθυφαλλικὸν ἐκλήθη ἐπιτήδειον ὂν εἰς τὸν Διόνυσον, οὕτω καὶ τὸ Πριάπειον. Ἰστέον δέ, ὅτι τούτου τοῦ Εὐφορίωνος γέγονεν ἀκροατὴς Ἀρίσταρχος ὁ γραμματικός, οὐ μόνον Ἀριστοφάνους τοῦ Βυξαντίου.* S.

14. *γλυκεῖα*] *Δύο ἴαμβοι, ἀντίσπαστος, τρεῖς ἴαμβοι, συλλαβή· καὶ τὸ ἑξῆς τοιοῦτον.*

15. *Νύμφαις*] *Ποδῶν ἁπλῶν ὀκτώ, τῆς τελευ-*

3 ἐκ δύο ἰάμβων] ἐκ om. M 4 ἀκατάληκτον] κατάληκτον M 5 Ἀλκαϊκὸν M, Ἀλκμαϊκὸν STu 7 τὸ σπουδεῖον ἤρξατο Tu, ἀπὸ σπουδείου ἤρξ. M 9 σπουδεῖος M, σπουδεῖον Tu 13 εἶτα] εἷς libb. 15 ἐπὶ M, ἐστὶ Tu εἶτα] εἷς libb. 20 Ἀλεξάνδρᾳ lib. 24 Ἀριστοφάνης τοῦ τοῦ B. lib.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

ἐστὶ κατὰ συμπάθειαν (ἐπίμικτα), ὡς τὰ χοριαμβικὰ καὶ ἀντισπαστικὰ τὰ ἰαμβικά. Ἔστι δ' ὅτε καὶ ἐξ ὅλων τροχαϊκῶν σύγκειται, ὡς ἐπὶ τοῦδε

σαρκικὸν γὰρ εἶχε χρῶτα κἀὶ τὸ δέρμ' ὅμοιον.

Διαιρεῖται δὲ ἀπὸ τοῦ τροχαϊκοῦ τῷ τε ῥυθμῷ καὶ τῇ φωνῇ· [τὸ γὰρ τροχαϊκὸν εἰς πενθημιμερῆ καὶ ἑφθημιμερῆ τέμνεται, τὸ δὲ ἰωνικὸν κατὰ ἁπλῶν ποδῶν] ὅταν δὴ τὸ χοριαμβικὸν λάβῃ τὰς τροχαϊκάς, ἢ τὸ ἰωνικὸν τὰς ἰαμβικάς, καλοῦνται κατ' ἀντιπάθειαν· καὶ ὅταν μὲν τὸ χοριαμβικὸν κατ' ἀρχὴν λάβῃ τὸ τροχαϊκόν, ἐπιχοριάμβικὸν καλεῖται, ὅταν δὲ τὸ ἰωνικὸν κατ' ἀρχὴν δέξηται τὸν ἴαμβον, ἐπιωνικόν ἐστιν· ἐπιαντισπαστικὸν δ' οὐκ ἔστιν, ἐπεὶ τὸ ἀντισπαστικὸν φύσιν εἶχεν ἐνίοτε καὶ ἀπὸ διτροχαίου ἄρχεσθαι, διὰ τὸ τρέπεσθαι τὴν ἀρχὴν εἰς τὰ δ' σχήματα τῶν δισυλλάβων. Ἐξητεῖτο δὲ διὰ τί τὰ ἰωνικὰ ἐδέξαντο τοὺς διτροχαίους· ἐπιλυόμεθα δὲ οὕτως· τοῖς ἰωνικοῖς ἐνδέουσί μετρικοὶ πόδες, εἰσὶ γὰρ ἐκ σπονδείου καὶ πυρριχίου τὰ ἰωνικά· μετρικοὶ δὲ πόδες εἰσὶ τροχαῖος ἴαμβος δάκτυλος ἀνάπαιστος, οἵτινες τῇ ποικιλίᾳ τῶν χρόνων κοσμούμενοι μέτρα ἴδια ποιοῦσιν· οὗτοι δὲ καλοῦνται μετρικοὶ καὶ ῥυθμικοὶ πόδες· τὰ δὲ ἰωνικὰ μέτρα μὴ ἔχοντα τὴν σύστασιν (ἐκ τούτων), τούτων ἐδεήθησαν, ἐπεὶ χαῦνά εἰσι τὰ ἰωνικά, τὰ δὲ τροχαϊκὰ σύντονα· ὅπως οὖν κρᾶσίς τις γένηται, συνῆλθον τοῖς ἰωνικοῖς τὰ τροχαϊκά. Ἅπαξ δὲ τῶν διτροχαίων

1 κατὰ συμπάθειαν (ἐπίμικτα)] ἐπίμικτα om. lib. Gaisf. 6 τὸ γὰρ τροχαϊκὸν κτλ. eiecimus 13 ἐπιαντισπαστικὸν Gaisf., ἐπεὶ ἀντισπαστικὸν lib. 23 ῥυθμικοὶ πόδες] ἀριθμητικοὶ π. lib. Gaisf. 24 (ἐκ τούτων), τούτων] ἐκ τούτων om. lib. Gaisf.

ἐμπεσόντων εἰς τὰ ἰωνικά, τοῖς ἀντιπαθέσι τῶν ἰωνικῶν συνῆλθον αἱ ἰαμβικαὶ διποδίαι, φημὶ δὴ τῷ ἀντισπαστικῷ καὶ χοριαμβικῷ. S.

2. ἑφθημιμερῆ μὲν] Τὸ ἰωνικὸν ἑφθημιμερὲς τρεῖς ἔχει πόδας καὶ συλλαβήν· καὶ ἐν τούτῳ ἡ πρώτη ἀδιάφορος· ἡ δὲ καταληκτικὴ τροχαϊκή.

3. Κλεομάχειον] Ὁ Κλεόμαχος δ' οὗτος πύκτης ἦν, ἐρασθεὶς δέ ποτε νέου μετῆλθεν εἰς ποιητικήν. S. Cf. Strab. XIV p. 959 (928): Κλεόμαχος ὁ πύκτης, ὃς εἰς ἔρωτα ἐμπεσὼν κιναίδου τινὸς καὶ παιδίσκης ὑπὸ κιναίδῳ τρεφομένης ἀπεμιμήσατο τὴν ἀγωγὴν τῶν παρὰ κιναίδοις διαλέκτων καὶ τῆς ἠθοποιίας.

4. οἱ μολοσσοὶ] Εἰκότως δὲ ἐπὶ τῶν ἀρτίων οἱ μολοσσοί. Τοῦ γὰρ μολοσσοῦ τιθεμένου κατ' ἀρχὰς καὶ τοῦ ἰωνικοῦ μετ' αὐτὸν εὑρίσκοντο πέντε μακραὶ ἐφεξῆς καὶ ἀρρυθμία πολλὴ ἐγένετο· τοῦ δὲ μέτρου, ὃ ἐπιφέρει, ὁ πρῶτος ἰωνικός, καὶ μολοσσός, εἶτα διτρόχαιος καὶ πάλιν μολοσσός· τὸ γὰρ ην ἡμων καὶ τὸ γω πινων μολοττοὶ ἀντὶ ὁλοκλήρων ἰωνικῶν εἰσίν. Ἡ γὰρ τελευταία μακρὰ διαιρουμένη εἰς δύο βραχείας ποιεῖ τὸν ἰωνικὸν ἀπὸ μείζονος· ἐπεὶ καὶ τῶν ἐπὶ τέλους δύο βραχειῶν συναιρεθεισῶν ὁ μολοττὸς γίνεται. Ἔστιν οὖν τὸ μέτρον δίμετρον ἀκατάληκτον, τὸ καλούμενον Κλεομάχειον· τὸ δὲ ἐψόφησ' ἐ διτρόχαιος· εἶπε γὰρ ἐπιμίγνυσθαι πρὸς τὰς τροχαϊκὰς αὐτό(ν). Τὸ πλῆρες, ἐψόφησεν· εἶτα ἀμοιβαῖον, ἐγὼ πίνων, κατὰ πεῦσιν καὶ ἀπόκρισιν.

5. Πλήρης] Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, ὃ καλεῖται Προξίλλειον· βραχυκατάληκτον δέ, διότι

16 ἀρρυθμία] ἀριθμία M; 26 τροχαϊκὰς αὐτό· τὸ M Gaisf., τροχαϊκάς. τὸ αὐτὸ Tu

δύο συλλαβαῖς ἐνδεῖ πρὸς τὸν τέλειον τρίμετρον ἰωνικόν.

6. *ἀναπαίστου*] *Διότι λυομένων τῶν ἄκρων τοῦ ἰωνικοῦ γίνεται ἀνάπαιστος ἐκ δύο βραχειῶν καὶ μακρᾶς, καὶ πυρρίχιος ἐκ δύο βραχειῶν· τοῦ δὲ τροχαίου λελυμένου γίνεται ὁ τρίβραχυς. Συγγενὴς οὖν ὁ τροχαῖος τῷ ἰωνικῷ. Τῶν γὰρ δύο μακρῶν τῶν ἄκρων λυθεισῶν εἰς τέσσαρας βραχείας καὶ τῶν δύο βραχειῶν μενουσῶν ἓξ (βραχεῖαι) γίνονται αἱ πᾶσαι· αἱ δὲ ἓξ βραχεῖαι, ἄδηλον, εἴτε τοῦ ἰωνικοῦ λυθέντος, εἴτε τοῦ τροχαίου γεγόνασιν.*

7. *Ἥρην*] *Ἰωνικὸν τετράμετρον βραχυκατάληκτον, ὃ καλεῖται Σωτάδειον, ἐκ τριῶν ἰωνικῶν καὶ ἑνὸς τροχαίου· ἐνδεῖ δὲ δύο συλλαβαῖς εἰς τὸ ἰωνικὸν εἶναι ἀκατάληκτον.*

8. *ἀσαροτέρας*] *Τὸ ασαροτε δεύτερος παίων· συστέλλουσι γὰρ οἱ Αἰολεῖς τὸ α, ὡς ἐν τῷ*

μή μ' ἄσαισι μηδ' ἀνίαισι.

Ὃ δὲ θέλει τοιοῦτόν ἐστι· βλαβερωτέρας [ἀντὶ τοῦ αὐτὴ] οὐδαμῶς ἐμοί ποτε εἰρήνη σέθεν ἐπιτυχοῦσα. Ὁ πρῶτος πούς ἐστι παιὼν δεύτερος, ασαροτε· συστέλλουσι γὰρ οἱ Αἰολεῖς τὸ α τοῦ ἄσαισιν ὡς ἐν τῷ μή μ' ἄσαισι μηδ' ἀνίαισιν. Ὥσπερ δὲ Ἀφροδίτη Ἀφρόδιτα φασὶ συστέλλοντες τὸ α, οὕτω καὶ τὸ εἰρήνη εἴρηνα. S.

9. *πόας*] *Ἰωνικῷ γὰρ ὄντι ἡ πρώτη βραχεῖα ἀπελείφθη ἡ πο. Ἔχει δὲ ἰωνικὴν διποδίαν, εἶτα τροχαϊκήν.*

4 *γίνεται ὁ ἀνάπαιστος ἢ* (leg. *καὶ*) *ὁ πυρρίχιος· ἐὰν γὰρ λύσω τὴν πρώτην μακρὰν τοῦ ἰωνικοῦ γίνεται ἀνάπαιστος* M 9 (*βραχεῖαι*) adiecimus. 11 *τροχαίου*] *τροχαϊκοῦ* M 19 [*ἀντὶ τοῦ αὐτὴ*] eiiciendum. 20 *ἐμοὶ*] *μοῦ* lib.Gaisf. *εἰρήνη*] *εἰρήνης* lib.Gaisf. 23 *μήμε ἄσαισι μὴ δ' ἠνίασιν. ὥσπερ δὲ* lib.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



3. *Τὸ δὲ ἃ δ' οὐδέτερόν ἐστιν ἄρθρον, ἐν συστολῇ τὸ α ἔχον, ἀντὶ τοῦ ἅ τινα.*

4. *ἀνακλώμενον*] *Τὰ εἰρημένα ἀνακλώμενα οὐκ εἰσίν. Οὔτε γὰρ ἡ ἐσχάτη τοῦ ἰωνικοῦ μακρὰ οὖσα γέγονε βραχεῖα, οὔτε δὲ τροχαϊκὴν ἔχουσιν, ἀλλὰ καθαρά εἰσιν. Ἴσως δὲ περὶ τῶν ἑξῆς ὁ λόγος.*

4b. *Ἰστέον δὲ ὅτι τὸ ἀνακλώμενον μέτρον τοιοῦτόν ἐστιν ὡς ἰωνικὸν εἶναι τὸ ἀπ' ἐλάσσονος τὸ ααβαβαββ. Λέγεται δὲ οὕτως ὅτι ἡ τελευταία τοῦ πρώτου ποδὸς ἀνακλᾶται ἐπὶ τὴν τοῦ δευτέρου ἄρχουσαν βραχεῖαν ὡς εἶναι τὸ πρῶτον ἀντὶ ἰωνικοῦ παίωνα τρίτον, τὸ δὲ δεύτερον ἐπίτριτον δεύτερον. Ὕστερον δὲ (τὸ) ἀνακλώμενον ἐκλήθη (μητρῳακὸν) διὰ τὸ πολλὰ τοὺς νεωτέρους εἰς τὴν μητέρα τῶν θεῶν γράψαι τούτῳ τῷ μέτρῳ. Γαλλιαμβικὸν δὲ ἐκλήθη, ἐπεὶ λελυμένον ἐστὶ τὸ μέτρον· οἱ δὲ Γάλλοι διαβάλλονται ὡς θήλειαν νόσον ἔχοντες· διὸ καὶ σώματα φόρον ἐτέλουν Ῥωμαίοις εἰς τοῦτο· οἱ τοιοῦτοι δὲ ἱερεῖς εἰσὶ Δήμητρος.*

4c. *Ἰστέον ὅτι τοῦτο τὸ ἀπ' ἐλάσσονος ἰωνικὸν λέγεται ἀνακλώμενον καὶ μητρῳακὸν καὶ γαλλιαμβικὸν ἀπὸ τοῦ τοὺς Γάλλους, ὅ ἐστι τοὺς κιναίδους, ἰαμβίζειν καὶ ὑμνεῖν τὴν Ῥέαν κατὰ τὴν ἄγραν. Διὰ τοῦτο γὰρ καὶ μητρῷον. Ἴσως δὲ διὰ τοῦτο καὶ ἀνακλώμενον διὰ τὴν κλάσιν τῆς φωνῆς αὐτῶν καὶ ἀπαλότητα. Ὧι καὶ Καλλίμαχος κέχρηται. Ἔστι*

1 *τὸ δὲ ἃ δ' ἀνάγκα* Tu, *τὸ δὲ ἄνδρες* M 5 *οὔτε δὴ τροχαϊκὸν* M 7—12 Initium scholii non hoc loco, sed inter scholia capitis III traditur pag. 125. Inde huc repetivi. 51 Ante verba *Γαλλιαμβικὸν δὲ κτλ.* collocavi haec: *Ὕστερον δὲ τὸ ἀνακλώμενον κτλ.* lin. 13 sqq., quae librarii errore ex interpretamento in ipsum enchiridion cap. XII irrepserunt. 13 *τὸ* et *μητρῳακὸν* om. libb. 15 *Γαλλιακὸν* M 26 ὃ libb.

δ' ἀταξία πολλὴ ἐν τῇ χρήσει ὧν περιφέρει χρήσεων καὶ μάλιστα ἐν τοῖς πρώτοις ποσί. S.

4d. Ἀνακλώμενον δὲ καλεῖται τὸ μέτρον διὰ τὴν ποιὰν τοῦ μέτρου συμπάθειαν· ἡ γὰρ τελευταία τῶν προτέρων ποδῶν ἀνακλᾶται τῇ ἀρχῇ τῶν δευτέρων διὰ τὸ ἐν ὀρχήσει ἀνακλασμὸν μελῶν γίνεσθαι.

5. Γαλλαί] Ὁ πρῶτος μολοττός ἐστιν, εἶπε γὰρ ὅτι δέχεται μολοττὸν ἐν ταῖς περιτταῖς, αἱ δὲ ἑξῆς ἰωνικαί· δηλονότι ἐπιμιγνύουσι τὰ προειρημένα τοῖς καθαροῖς· ἰδοὺ γὰρ τῶν ἄλλων καθαρῶν ὄντων τὸ μὲν πρῶτον ἔχει τὸν πρῶτον μολοττόν· περιττὴ γὰρ ἡ χώρα· τὰς δὲ ἑξῆς ἰωνικὰς καθαράς· τὸ δὲ δεύτερον, ὁμοίως τῷ πρώτῳ, μολοττόν, κατὰ συνίζησιν τῶν δύο βραχειῶν, τῶν μετὰ τὰς δύο μακρὰς εἰς μίαν λαμβανομένων· αἷς ἔντεα, αἷς ἔντη· ὁμοίως καὶ ἐν τῷ χάλκεα, χάλκη.

6. μεγάλῳ] Ταῦτα μὲν ἐξ ἐπιμιξίας εἰσὶν ἀνακλώμενα βραχυκατάληκτα. Ἔχουσι γὰρ τὴν ἐσχάτην τοῦ ἰωνικοῦ βραχεῖαν ἀντὶ μακρᾶς. Εἴρηται δὲ κατ' ἀρχῆν, ὅτι ὅταν ἐπιμίσγηται τῇ τροχαϊκῇ, πάντως ἡ πρὸ αὐτῆς ἔσται πεντάσημος, ὅ ἐστι παιωνική· ὡς ἡ κοψεν ὥστε, τροχαϊκὴ συζυγία οὖσα, ἔχει τὴν πρὸ αὐτῆς τὴν τε μ' ἔρως ε παιωνικήν. Τὸ δὲ ἑξῆς τὸ προσελεξάμαν δύναται καὶ ἀνακλώμενον εἶναι, δύναται καὶ ἐπίμικτον πρὸς τὰς τροχαϊκάς, τῆς παιωνικῆς προκειμένης, ὁμοίως τοῖς προλεχθεῖσιν. ἔστι γὰρ ἡ μὲν πρώτη συζυγία, προσελεξα, παίων τρίτος· ἡ δὲ δευτέρα, μαν ὄναρ κυ, (τῆς κυ) μακρᾶς γενομένης διὰ τὸ ἐπιφέρεσθαι τὸ προ, ἐστὶ τροχαϊκὴ ἑπτάσημος, τῆς πρώτης μακρᾶς ἀνα-

17 μὲν om. M 30 τῆς πρώτης μακρᾶς ἀνακλωμένης] τῆς ... ἀντανακλωμένης M

κλωμένης ἐπὶ τὴν τελευταίαν βραχεῖαν τῆς πρώτης συζυγίας. Βραχεῖαν γὰρ αὐτὴν εἰπὲ καὶ οὐκ ἂν ποιοῖ τὸ ἰωνικόν· κοινῆς δὲ συλλαβῆς γενομένης τῆς κυ διὰ τὸ ἄφωνον εἶναι καὶ ἀμετάβολον τὰ ἑξῆς ἔσται ἡ προειρημένη ἐπιμιξία.

7. *Διονύσου*] *Ὁ δεύτερος ποὺς μολοττός, τουτέστιν ἰωνικὸς ἀπ' ἐλάσσονος τῶν πρώτων δύο βραχειῶν εἰς μίαν μακρὰν συναιρεθεισῶν· ὁ δὲ πρῶτος ποὺς ἰωνικός.*

Εἰς κεφ. ιγ'. Περὶ παιωνικοῦ

ΣΧΟΛ. Α.

1. *παιωνικὸν*] *Οὔκουν ἀπεδοκίμασαν οἱ μετρικοὶ τὸ παιωνικὸν μέτρον, ἐπεὶ οὐδὲ οἱ ῥυθμικοί. Παιωνικὰ γάρ φασι τὰ ἐν ἡμιολίῳ λόγῳ. Ἡμιόλιον δέ ἐστιν, ὡς ἐν τοῖς κατὰ πλάτος εἰρημένοις αὐτοῦ ἕνδεκα βιβλίοις φησί, τὸ ἐξ ἑνὸς ἡμίσεως ποδὸς συγκείμενον· ὡς οἱ τρισύλλαβοι πόδες ἐκ τῶν δισυλλάβων. Αὐτοὶ δὲ οἱ μετρικοὶ τοῦ παιωνικοῦ τρία εἴδη φασί· τὸ ἐν κρητικῷ, τὸ ἐν βακχείῳ, τὸ ἐν παλιμβακχείῳ· πάντα δέ ἐστι πεντάσημα. Εἰ δέ τις ἔροιτο πῶς (τὸ) μέτρον τὸ παιωνικὸν μόνον παίωνα πρῶτον δέχεται καὶ τέταρτον, οὐδὲ δεύτερον καὶ τρίτον, ἴστω, ὡς οὐκ ἀπὸ τῶν παιωνικῶν ποδῶν ὠνόμασται τὸ μέτρον, ἀλλ' ὅτι ἐν ἡμιολίῳ*

2 εἶπε καὶ οὐκ ἐποίει libb. 6 ποὺς ... 9 ποὺς] στίχος ... στίχος libb.Gaisf. 6 τουτέστιν] ἐστιν libb.Gaisf. 18 Αὐτοὶ δὲ] αὐτοί τε lib.Gaisf. 21 πῶς (τὸ) μέτρον] τὸ om. lib.Gaisf. 23 παιωνικῶν] παιώνων lib.Gaisf.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

4. *λύσεις*] *Αὐτοὶ οὗτοι οἱ πόδες λύονται εἰς τοὺς παίωνας· ἡ γὰρ πρώτη συλλαβὴ τοῦ κρητικοῦ λυομένη ποιεῖ τὸν τέταρτον παίωνα, ἡ δὲ ἐσχάτη τὸν πρῶτον.*

5. *ὦ πόλι φίλη*] *Ὅλοι παίωνες πρῶτοι κοινῆς οὔσης τῆς κε ἐν τῷ λη κέκροπος, τῆς τελευταίας μόνης τὸν κρητικὸν ἐχούσης. Ἔστι δὲ τὸ μέτρον παιωνικὸν τετράμετρον.*

6. *ἐν ἀγορᾷ*] *Τὸ γὰρ ἐν ἀγορᾷ τέταρτον παίωνα ἀντὶ τοῦ πρώτου ἐδέξατο· τοὺς δὲ δύο ἑξῆς πρώτους παίωνας.*

7. *Εἰς χορὸν*] *Πάλιν τὸ „τας βοᾶν“ κρητικὸν παρέλαβεν ἐν μέσῳ καὶ τὸ „εἰσὶν ὧς“ κρητικόν. Ὅλως δὲ οἱ τελευταῖοι ὁμοίως κρητικοί.*

8. *μᾶτερ*] *Ὅλοι κρητικοί, τοῦ πότνια τῆς α ἀντὶ μακρᾶς, τῷ λόγῳ τῆς κοινῆς, καθὸ κατέμιξε, λαμβανομένης· ἔτι δὲ καὶ διὰ τὴν τῶν δύο συμφώνων ἐπιφοράν.*

πότνια] *Ἰστέον ὅτι ὁ Ὧρός φησιν ὡς ἀντὶ μακρᾶς ἐνταῦθα τὸ ᾰ̈ τοῦ πότνια, κοινὴ ὂν συλλαβὴ ὅτι ἀπήρτισεν εἰς μέρος λόγου, ὡς τὸ*

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχή.

ἀλλὰ μᾶλλον δεῖ μὴ κατὰ τοῦτο λέγειν αὐτὸ μακρόν, ἀλλ' ὅτι ἔχει δύο σύμφωνα ἐπιφερόμενα, τὸ κλ τοῦ κλῦθι. S.

9. *σέ ποτε*] *Ἰδοὺ αἱ μὲν τρεῖς βάσεις ἐκ τοῦ πενταβράχεος· ἡ δὲ τετάρτη ἐκ τοῦ τετάρτου παίω-*

3 *τέταρτον ... πρῶτον*] *πρῶτον ... τέταρτον* M 3 *παιῶνα* libb.Gaisf. 9 *τοὺς δὲ δύο ἑξῆς*] *τοὺς δὲ τέσσαρας ἑξῆς* (i. e. *δ' ἑξῆς*) libb. „Lege *τρεῖς*“ male Gaisf. negligens Hephaestionis praeceptum „*τοὺς πρώτους παίωνας παραλαμβάνειν πλὴν τῆς τελευταίας χώρας*“. 14 *πότνια τῆς α* Pauw, *πότν. τὸ α* libb. 19 *τὸ α τὸ πότνια* lib.Gaisf. 24 *κλ τὸ κλῦθι* lib.Gaisf.

νος, τῆς νε πάλιν ἐν τῷ νεβροχίτων ἀντὶ βραχείας παραλαμβανομένης.

10. *θυμελικὰν ἴθι μάκαρ καὶ τὰ ἑξῆς*] *Ἐκ τῶν καλουμένων Δελφικῶν ἐστὶν ἡ προκειμένη χρῆσις, μὴ ἐχόντων τὸ ὄνομα τοῦ ποιητοῦ.* S.

11. *Ὦι δὴ*] *Ἐπὶ τὰ πρῶτα ἀνατρέχει, ὅπου ἔφη, ἐπιτηδεύουσι λαμβάνειν τοὺς πρώτους παίωνας καὶ τὰ ἑξῆς καί φησι τὸ ὅμοιον καὶ ἐπὶ τῶν πενταμέτρων πεποιηκέναι Θεόπομπον.*

12. *Δύναται*] *Ὁ γὰρ παίων πεντάχρονός ἐστι, καὶ οἱ εἰς αὐτὸ τὸ μέτρον ἐμπίπτοντες, ὅ τε κρητικὸς καὶ ὁ βακχεῖος· ὥστε εἶναι τὸ ἑξάμετρον τριάκοντα χρόνων· πεντάκις γὰρ ἓξ τριάκοντα. Ἕως τούτου δὲ προβαίνει ἡ ποσότης τῶν ἐν τοῖς στίχοις χρόνων κατὰ Ἡφαιστίωνα· ἐπεὶ καθ' ἑτέρους καὶ ἕως λβ'. Ἔνθα τὰ ὑπὸ τὸ τρίτον γένος τῶν ποδῶν ὡς ἔχοντα ἓξ χρόνους οὐδέποτε ποιεῖ ἑξάμετρον ὑπερπίπτοντα τὸν λ'. Πλὴν σημείωσαι, ὅτι τὸ κρητικὸν διαφέρει πρὸς τὰ ἄλλα μέτρα. Τὰ μὲν γὰρ ἄλλα κατ' ἀφαίρεσιν τὰ ἀντιπαθοῦντα αὐτοῖς μέτρα τίκτει· ὥσπερ τὸ ἰαμβικὸν κατ' ἀφαίρεσιν τῆς ἐν τῇ ἀρχούσῃ βραχείας τίκτει τὸ τροχαϊκόν· τροχαϊκὸν δὲ κατὰ ἀφαίρεσιν τῆς ἐν τῇ ἀρχούσῃ μακρᾶς τίκτει τὸ ἰαμβικόν· ταὐτὸ καὶ ἐπὶ τοῦ δακτυλικοῦ καὶ ἀναπαιστικοῦ. Τὸ μέντοι κρητικὸν κατ' ἀφαίρεσιν τῆς ἐν τῇ ἀρχούσῃ μακρᾶς ποιεῖ τὸ βακχειακὸν μέτρον, ὃ μονοειδὲς αὐτῷ. Αὔξεται δὲ τοῦτο καὶ μέχρι ἑξαμέτρου.*

8 *πενταμέτρων* Pauw, *τετραμέτρων* libb. 15 *καθ' ἑτέρους*] cf. Jo. Tzetz. p. 95 Cram., *καθ' ἕτερον* libb.Gaisf. 23 *τροχαϊκὸν δὲ κατὰ ἀφαίρεσ.*] *καὶ τὸ τροχαϊκὸν κατὰ ἀφ.* M 27 *αὐτῷ* Tyrwhitt, *μονοειδὲς αὐτό* libb.Gaisf., *ὁμοιοειδὲς αὐτῷ* Bentley, *ὁμοιοειδὲς αὐτό* Pauw

13. *μονοειδῶν*] *Μονοειδῶν ὡς πρὸς ἀντιδιαστολὴν τῶν ἀσυναρτήτων. Ἐκεῖνα γὰρ ἐκ δύο εἰδῶν συνέστηκεν* (!).

14. *ὁμοιοειδῶν*] *Ὁμοιοειδῶν, διότι ὑπὸ τὸ αὐτὸ εἶδος ἀναφέρεται πλείονα, οἷον ὑπὸ τὸ ἀντισπαστικὸν τὸ Φερεκράτειον, τὸ Γλυκώνειον, ὁμοίως κἀπὶ τῶν ἄλλων* (!).

Εἰς κεφ. ιδ'. Περὶ τῶν κατ' ἀντιπάθειαν μίξεων

ΣΧΟΛ. Α.

1. *Τῆς δὲ κατ' ἀντ.*] *Ἐνταῦθα περὶ τῶν τοῖς ἀρχαίοις εἰρημένων μεμιγμένων* [τινῶν] *κατ' ἀντιπάθειαν* [ἀλλήλων ὄντων] *μέτρων βούλεται διαλαβεῖν ὁ τεχνικὸς καὶ λέγει, ὅτι τὰ πυκνότατα τουτέστι τὰ συνήθη ἐν τῇ χρήσει προφέρω.* S.

2. *ὥστε εἶναι τ. κ. τ.*] *Φησὶ τὸ β λάμβανε μακράν· τοῦτο γὰρ δηλοῖ τὸ β', ὅτι β' χρόνοι εἰσὶν οἵτινες καὶ ἀπεργάζονται τὴν μακράν· τὸ δὲ α' τὴν βραχεῖαν ἐξ ἑνὸς χρόνου οὖσαν.* S.

3. *ἀνακλωμένου*] *Ἀνακλώμενον καλεῖται τὸ μέτρον, ὅτι πολλάκις ὁ λείπων χρόνος ἔν τινι βάσει ἀνακλᾶται εἰς ἄλλην βάσιν, ὥσπερ τῆς δευτέρας βάσεως τοῦ* [*δευτέρου*] *παραδείγματος ἐλαττομένης χρόνῳ· παίωνα γὰρ ἔχει τρίτον πεντάσημον, ὁ λεί-*

12 *εἰρημένων*] *εὑρημένων* lib.Gaisf. 12 *τινῶν* et 13 *ἀλλήλων ὄντων* librorum eiicienda. 15 *προφέρω*] *περιφέρω* libb.Gaisf. 23 *ἐλαττομένης* S, *λειπούσης* MΓuGaisf. 24 *παίωνα γὰρ κτλ.*] *παίων γάρ ἐστι τρίτος ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος* S

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



ειδῆ δὲ ὀκτώ, οἷον ὅταν τὰ ἰαμβικὰ μὴ τέλεια ὄντα χοριαμβικοῖς ἢ ἀντισπαστικοῖς ἐπιφέρηται ἢ τροχαϊκὰ ἰωνικοῖς, ἢ ἐναλλάξ· ἐπισύνθετα δὲ κδ΄· ἀντιπαθῆ κδ΄, ὧν τὰ μὲν πρώτης ἀντιπαθείας, ὅσων μιᾶς συλλαβῆς ἐκτιθεμένης τὸ ὅλον ἓν ποιεῖ(ται).

2. *ἡμιολίου*] *Ἡμιόλιον εἶπε τοὺς τρεῖς ἁπλοῦς πόδας, ἤγουν τὸ ἥμισυ τοῦ τριμέτρου.* STu.

3. *ἑφθημιμεροῦς*] *Ἑφθημιμερές ἐστι τὸ ἀπαρτίξον τὸ τοῦ λόγου μέρος μετὰ τρεῖς ἁπλοῦς πόδας καὶ συλλαβήν.* STu.

4. *οἱ δὲ μετ' αὐτὸν*] *Ὅ ἐστιν οὐκ εἰς τὸ ἑφθημιμερὲς τὸ μέρος τοῦ λόγου ἀπαρτίζοντες, ἀλλ' ἢ πρὸ ἢ μετά, οἷον πρὸ τοῦ λῆξαι εἰς μέρος λόγου ἐγίνετο ἑφθημιμερές.* STu.

5. *ἀχρειόγελως*] *Ἐν γὰρ τῷ λως ἔληξε τὸ μέρος τοῦ λόγου· τὸ δὲ ἑφθημιμερές ἐστιν ἐν τῷ ὁ καὶ ἔτεμε τὸ ὅμιλε.*

6. *εὐδαίμον'*] *Εὐδαίμον' ἔτικτέ (σε μή), σπουδεῖος, ἀνάπαιστος, (ἀνάπαιστος)· ἡ μη συλλαβὴ μὴ λήγουσα εἰς μέρος λόγου.*

7. *ἐνταῦθα*] *Ἐνταῦθα γὰρ ὁμοίως, ὡς ἐν τῷ ἑφθημιμερεῖ, ἀπήρτισται τὸ τοῦ λόγου μέρος· ἐν δὲ τοῖς πρὸ αὐτοῦ (δυσὶ) πρὸ συλλαβῆς τοῦ ἑφθημιμεροῦς ἡ τομὴ τοῦ μέρους τοῦ λόγου γέγονε.*

8. *τὸ δὲ προσοδιακὸν μέτρον ἐλέγετο ἐν ταῖς πανηγύρεσι καὶ εὐχαῖς· συνέστηκε δὲ ἐξ ἰωνικοῦ*

4 *ὧν τὰ μὲν πρώτης ἀντιπαθείας* M, *τὸ* pro *τὰ* STuGaisf. 5 *ὅσων...ἓν ποιεῖται*] *ὅσον...ἓν ποιεῖ* libb.Gaisf. 16—18 Hoc schol. in libb. legitur post lin. 6. 19 (*σε μή*) et 20 (*ἀνάπαιστος*) om. libb.Gaisf. *ἡ μη συλλαβὴ*] *ἡ κτε σ.* libb.Gaisf. 24 *τοῖς πρὸ αὐτοῦ* Pauw, *τῇ πρὸ αὐτοῦ* libb. *δυσὶ* om. libb.Gaisf. *πρὸ συλλαβῆς*] $\overline{\pi\rho o}$ *συλλαβῆ* M

τοῦ ἀπὸ μείζονος καὶ χοριαμβικοῦ. M. (*Δύναται δὲ διαιρεῖσθαι καὶ οὕτως*)· *ἴαμβος* (*πυρρίχιος*), *τροχαῖος*, *ἴαμβος*. SMTu.)

9. *Δύναται δὲ καὶ εἰς τρίμετρον*] *Οἷον, ὡς ἀναπαιστικόν, τρεῖς ἔχειν ἀναπαίστους· καὶ ὁ πρῶτος σπονδεῖος δυνάμει ἀνάπαιστός ἐστι καὶ ὁ ἕξῆς πάλιν ἐν τῷ αὐτῷ, ὡς συνέμπτωσιν εἶναι τῷ προσοδιακῷ πρὸς ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, τὸ αὐτὰ δὲ σὺ Καλλίοπα· δύναται δὲ τοῦτο καὶ ἰωνικὸν ἀπὸ μείζονος εἶναι, ἐὰν ποδισθῇ οὕτως, αὐτὰ δὲ σὺ* (*ἰωνικὸς ἀπὸ μείζονος*) *καὶ* (*τὸ*) *ἕξῆς χορίαμβος, ὅπερ ἐστὶ προσοδιακόν.*

10. *αὐτὰ*] (*Αἱ πρῶται*) *δύο συλλαβαὶ τοῦ αὐτὰ δὲ σὺ Καλλιόπα δύνανται εἶναι σπονδεῖος καὶ ὁ δεύτερος* (*πους*) *ἀνάπαιστος· δύναται δὲ καὶ ἰωνικὸς ἀπὸ μείζονος ὁ πρῶτος καὶ ὁ δεύτερος χορίαμβος.*

11. *τοῦ προσοδιακοῦ*] *Ἔσθ' ὅτε γὰρ καὶ τὰς ἰαμβικὰς ἐπιμιγνύουσι ταῖς κατειλεγμέναις συζυγίαις, τῇ τε ἰωνικῇ καὶ τῇ χοριαμβικῇ, πάλιν προσοδιακὸν καλοῦντες, ὥσπερ Εὔπολις ἐν ταῖς Πόλεσιν*

ὦ δέσποτα, καὶ τάδε νῦν ἄκουσον ἃ'ν λέγω σοι.

Ἐφθημιμερὲς γὰρ ἰαμβικὸν τῷ προσοδιακῷ τῷ καθαρῷ ἐπιμέμικται καὶ προσοδιακὸν ὁμοίως καλεῖται. Ἰστέον δὲ ὅτι τὸ προσοδιακὸν δέχεται ἰωνικὸν ἀπὸ μείζονος (*ἢ*) *παίωνα δεύτερον ἢ μολοττὸν καὶ χο-*

1 (*Δύναται δὲ διαιρεῖσθαι καὶ οὕτως*)· *ἴαμβος κτλ.* Nil restat in libb. nisi *ἴαμβος τροχαῖος ἴαμβος*, sed legitur hoc non in octavo scholio, sed in extremo sexto. 6 *καὶ ὁ ἕξῆς* Pauw, *καὶ ὁ ἔξω* libb. 9 *δ. δὲ τοῦ κᾱ ἰωνικοῦ* M, *δ. δὲ τὸ κα* Tu, *δ. δὲ καὶ ὁ πρῶτος ἰωνικὸς* PauwGaisf. 11 *ἰωνικὸς ἀπὸ μείξονος* et *τὸ* om. libb.Gaisf. 13 *αἱ πρῶται* om. libb.Gaisf. *τοῦ*] *τὸ* libb.Gaisf. 14 *δύναται* libb.Gaisf. 15 *πους* om. libb.Gaisf. 18 *ἐπιμίγνυσι* M 21 *ἃ'ν λέγω* DobraeusGaisf., *ἃ λέγω* libb. 25 (*ἢ*) *παίωνα δεύτερον*] *ἢ* om. libb.Gaisf.

ρίαμβον, ὅπερ ἀποβολῇ τοῦ πρώτου ποδὸς ποιεῖ ἀναπαιστικὸν τὸ ἑξῆς.

12. *τοὺς δὲ ἑξῆς ἀναπαίστους*] *Βούλεται δεῖξαι τὸν ἀνάπαιστον ᾠκειωμένον τῷ τοιούτῳ προσοδιακῷ. Ἐπεὶ γὰρ τὸ προσοδιακὸν σύγκειται ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριαμβικοῦ, φησὶν ὅτι ἐὰν ᾖ ὁ πρῶτος ποὺς σπονδεῖος, οἱ δὲ ἑξῆς ἀνάπαιστοι, προστίθημι τὰς δύο βραχείας τοῦ ἀναπαίστου τῷ σπονδείῳ, καὶ γίνεται ἰωνικὸν ἀπὸ μείζονος ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν καὶ λοιπὸν ὁ ἑξῆς εὑρίσκεται χορίαμβος, ἔκ τε τῆς μακρᾶς τῆς καταλειφθείσης τοῦ πρώτου ἀναπαίστου καὶ ἐκ τῶν δύο βραχειῶν καὶ τῆς μακρᾶς τοῦ δευτέρου ἀναπαίστου.*

13. *κἂν ἀπὸ δακτύλου*] *Καὶ πάλιν ἐπειδὴ λύσις τοῦ σπονδείου ἐστὶ δάκτυλος καὶ ἀνάπαιστος, ἐὰν ἐν ἀρχῇ τεθῇ ὁ δάκτυλος, τῶν ἑξῆς ὄντων ἀναπαίστων, τὸ αὐτὸ γίνεται, οἷόν ἐστιν ὁ δάκτυλος ἐκ μακρᾶς καὶ δύο βραχειῶν. Γίνεται οὖν ὁ πρῶτος ἰωνικός, τῆς δευτέρας συλλαβῆς λελυμένης, ἐκ μακρᾶς καὶ τεσσάρων βραχειῶν, τῶν δύο τοῦ δακτύλου καὶ τῶν δύο τοῦ ἀναπαίστου [καὶ γίνεται πρῶτος παίων]· λοιπὸν ὁ ἑξῆς εὑρίσκεται χορίαμβος, ἐκ τῆς μακρᾶς τῆς μεινάσης τοῦ ἀναπαίστου καὶ ἐκ τοῦ ἄλλου ἀναπαίστου. Πάλιν, ἐὰν ἐν τῇ ἀρχῇ ᾖ ὁ ἀνάπαιστος, γίνεται ἰωνικὸς ἔχων τὴν πρώτην λελυμένην μακρὰν [καὶ γίνεται δεύτερος παίων], καὶ ὁ ἑξῆς χορίαμβος ἐκ τῆς μεινάσης μακρᾶς καὶ τοῦ ἀναπαίστου. Διὸ καὶ ἀπὸ ἰάμβου ἄρχονται ἔστιν ὅτε· ἐπεὶ συγγενὴς ὁ ἴαμβος τῷ ἀναπαίστῳ. Ἐὰν*

19 *τῆς δευτέρας... ἐκ μακρᾶς*] *τὴν δευτέραν συλλαβὴν λελυμένην ἐκ δύο μακρῶν καὶ* M 20 *δακτύλου*] *αὐτοῦ* libb. 21 [*καὶ γίνεται πρῶτος παίων*], 26 [*καὶ γίνεται κτέ.*] eiecimus.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

ἴαμβον ὁ Κρατῖνος καὶ οὐκέτι συμφωνεῖ αὐτῷ τὸ προσοδιακόν, ὅπερ ἐστὶν ἐν τῷ Ἀρχιλοχείῳ. Δοκῶν οὖν τοῦτο μιμεῖσθαι ἔλαθε μιμησάμενος.

17. *τῶν ἀωρολείων*] *Ἀωρόλειοι οἱ ἔξω ἤδη ὥρας λειούμενοι, οἷον ἐν γήρᾳ κἀλλωπιζόμενοι.*

18. *τὸ ἐκ δακτυλικῆς τετραποδίας (κτλ.)*] *Τὸ ἐκ τεσσάρων δακτύλων καὶ τριῶν τροχαίων.*

19. *ὁ τελευταῖος*] *Γίνεται δὲ ὁ τελευταῖος ὥσπερ ἐν τέλει στίχου· στίχος γὰρ δοκεῖ εἶναι, εἴ γε δύο συνῃρημέναι εἰσί· καὶ μακρὰ πολλάκις ἀντὶ βραχείας παραλαμβάνεται.*

20. *ἀσυνάρτητον*] *Τρίτον εἶδος ἀσυναρτήτων ἐκ δύο δακτύλων καὶ συλλαβῆς καὶ δ' ἰάμβων.*

21. *Ἔνδοξόν ἐστιν ἐπισύνθετον*] *Ἐπισύνθετον δὲ τὸ ἐκ διαφόρων ποδῶν συγκείμενον ἀσυμφώνων ἀλλήλοις κατὰ τὴν ποσότητα δισυλλάβων καὶ τρισυλλάβων.*

22. *ἀντεστραμμένον*] *Τὸ δὲ ἀντεστραμμένον, τὸ μὲν πρῶτον ἐκ τοῦ ποσοῦ ἐκλήθη, τὸ δὲ δεύτερον τὸ ἰαμβέλεγος ἐκ τοῦ ποιοῦ. τοῦτο δὲ ἐν συνεχείᾳ.*

23. *Τὸ πρῶτον γάρ ἐστιν ἐκ δύο ἰάμβων καὶ συλλαβῆς, τὸ δὲ δεύτερον ἐκ δύο δακτύλων καὶ συλλαβῆς μιᾶς, τὸ δὲ τρίτον δύο ἴαμβοι καὶ συλλαβή, (τοῦ δὲ Πλατωνικοῦ τὸ πρῶτον ἐκ δύο δακτύλων καὶ συλλαβῆς, τὸ δὲ δεύτερον ἐκ δύο ἰάμβων καὶ συλλαβῆς) καὶ (τὸ τρίτον) πάλιν δύο δάκτυλοι*

9 *στίχου· στίχος* Pauw, *στίχος· στίχου* libb. 10 *συνειρημέναι* Tu 12 *Τρίτον εἶδος* Pauw, *τρία εἴδη* libb. 13 *καὶ δ' ἰάμβων* Pauw, *καὶ δύο ἰ.* libb. 21 seqq. Hanc paragraphum quae nec in libris nec apud Gaisfordium a praecedente seiuncta legitur, librorum ope restituimus insertis iis quae uncinis inclusa sunt. 22 *δύο δακτύλων καὶ συλλαβῆς μιᾶς*] ... *συλλαβὴ μία* M

καὶ συλλαβή· ὡς καὶ τύπος ἅπας (τοῦ μὲν) τέσσαρες ἴαμβοι καὶ δύο (δάκτυλοι καὶ τροχεῖς) συλλαβαί, (τοῦ δὲ) τέσσαρες δάκτυλοι καὶ δύο (ἴαμβοι καὶ τροχεῖς) συλλαβαί.

24. *Τὸ μὲν β (ἀεὶ) διπλασι(αζόμεν)ον] Εἰ γὰρ ἐκ δισυλλάβων ἦν, οὐ δυνατόν· τὸ γὰρ δεύτερον μέρος πάντως τρισυλλάβους αἰτεῖ.*

25. *Δεῖ δὲ τὸ ἐλεγεῖον] Ἀντὶ τοῦ εἰς μέρος λόγου καταλήγειν. Ἐὰν δὲ τὸ δεύτερον μέρος τοῦ ἐλεγείου, οἷον τὸ οὐκ ἐγένοντο φίλοι, διπλασιάσῃ τις, ποιεῖ ἐλεγεῖον· ἐπειδὴ καὶ τὸ πρῶτον μέρος καὶ τὸ δεύτερον δέχεται δακτύλους· τὸ δὲ πρῶτον ἐὰν διπλασιάσῃ τις, οὐ πάντως ποιεῖ ἐλεγεῖον. ἐὰν γὰρ ἔχῃ τὸ πρῶτον μέρος σπονδεῖον, οὐ γίνεται· οὐδὲ γὰρ δύναται αὐτὸν τάξαι ἐν τῷ δευτέρῳ μέρει, μὴ δεχομένου τοῦ δευτέρου μέρους σπονδεῖον· ἐὰν δὲ τὸ πρῶτον μέρος ἐκ δακτύλων ᾖ, δυνατόν· διὸ εἶπεν οὐ πάντως. Δεῖ δὲ τοῦτο ἐπισημήνασθαι, ὅτι ἐὰν ἡ τελευταία τοῦ δευτέρου μέρους συλλαβὴ βραχεῖα εἴη, οὐδὲ αὐτὸ ποιεῖ ἐλεγεῖον· εὑρήσεται γὰρ ἡ τελευταία συλλαβὴ ἐν τῷ διπλασιάζεσθαι τοῦ πρώτου μέρους βραχεῖα· ὅπερ ἐστὶν ἀδύνατον, εἰ μὴ ἄρα τις εἴποι ὅτι τῷ λόγῳ τῆς τελευταίας.*

26. *Διοσκουρίδεω] Ἡ γὰρ τομὴ τοῦ πρώτου πενθημιμεροῦς οὐκ ἀπήρτισεν εἰς μέρος λόγου. Λήγει*

3 Ante *τέσσαρες δάκτυλοι* libri habent *καὶ*. *καὶ πάλιν δύο δάκτυλοι καὶ συλλαβὴ* solus M, qui in fine post *συλλαβαὶ* addit: *γρ. καὶ συλλαβή*. 5 *Τὸ μὲν β* — 7 *αἰτεῖ* in libb. et apud Gaisf. cum antecedente scholio continuo cohaerent. 5 *διπλασι(αζόμεν)ον*] *διπλάσιον* libb.Gaisf. 6 *ἦν*] *εἴη* libb. Gaisf. 7 *τρισυλλάβους*] *δισυλλάβους* TuGaisf., *τοὺς δισυλλάβους* M 17 *διὸ εἶπον οὐ πάντως* Pauw, *διὸ εἶπεν* ... libb. 20 *εὑρήσεται γὰρ ἡ τελευταία*] *εὑρ. δὲ ἡ. τ.* libb.Gaisf. 25 *ἀπήρτησεν* Tu

γὰρ εἰς τὸ Διός· τὸ δὲ ὅλον μέρος εἰς τὸ Διοσκουρίδεω.

27. κατὰ τὴν πρώτην ἀντιπάθειαν] Πρώτη ἀντιπάθεια, ἡ ἐκ τῶν δισυλλάβων τῶν ἐναντίων σύνθεσις πρὸς τοὺς δισυλλάβους ἢ ἐκ τρισυλλάβων, τοῦτ' ἔστι τῶν ἁπλῶν, ὅταν ἐξ ἀντιστροφῆς παραλαμβάνωνται, οἷον εἰ ἀντὶ (τοῦ) ἀπὸ βραχείας ἀρχῆς ἰάμβου ὁ ἀπὸ μακρᾶς τροχαῖος παραληφθείη· καὶ ἀντὶ (τοῦ) ἀπὸ μακρᾶς ἀρχῆς δακτύλου (ὁ ἀπὸ) δύο βραχειῶν (ἀνάπαιστος· καὶ ἀντὶ τοῦ ἀπὸ μακρᾶς ἀρχομένου καὶ ἑξῆς βραχεῖαν καὶ μακρὰν ἔχοντος κρητικοῦ) ὁ ἀπὸ βραχείας ἀρχόμενος βάκχειος καὶ ἑξῆς ἔχων δύο μακρὰς παραληφθείη. Ἔστι δὲ (ἡ β′) ἀντιπάθεια ἡ ἐν τοῖς συνθέτοις ἐναντίωσις, λέγω ἐν τοῖς τετρασυλλάβοις, οἷόν ἐστι τοῦ ἀντισπάστου (καὶ τοῦ χοριάμβου).

27ᵇ. Πρώτην ἀντιπάθειαν λέγει τὴν ἐν τοῖς ἁπλοῖς ποσί, τουτέστι τοῖς δισυλλάβοις καὶ τρισυλλάβοις, ἐναντιότητα· δευτέραν δὲ ἀντιπάθειαν τὴν ἐν τοῖς συνθέτοις, λέγω δὴ τὴν ἐν τοῖς τετρασυλλάβοις. S.

28. ἔλαττον] Ὡς εἶναι τριῶν μόνων τῶν ἐπὶ τέλους τροχαίων, μὴ προσούσης τῆς συλλαβῆς· τοῦτο δέ ἐστι τὸ ἰθυφαλλικόν, συγκείμενον ἐκ τριῶν τροχαίων.

7 ἀντὶ (τοῦ) ἀπὸ βραχείας] τοῦ om. libb.Gaisf. 8 ἀπὸ μακρᾶς τροχαῖος TuGaisf., ἀπὸ μακροῦ τρ. M παραληφθείη] παραλειφθείη M 9 ἀντὶ (τοῦ) ἀπὸ μακρᾶς] τοῦ om. libb. Gaisf. (ὁ ἀπὸ) δύο βραχειῶν] καὶ δύο βραχειῶν libb.Gaisf. 10 (ἀνάπαιστος — 12 κρητικοῦ) om. libb.Gaisf. 13 Ἔστι δὲ (ἡ β′) ἀντιπάθεια] ἡ β′ Pauw 15 τοῦ ἀντισπάστου (καὶ τοῦ χοριάμβου)] τὸ ἀναπαίστοις libb., ὁ ἀντίσπαστος Gaisf. 19 δευτέραν Gaisf., δευτέροις libb. 22 τριῶν μόνων M, μὲν τριῶν μερῶν Tu

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



εὑρίσκεται τὸ ἑφθημιμερές, ὥστε γίνεσθαι δίμετρον βραχυκατάληκτον.

35. *τὸν λυροποιὸν*] *Ἔστι γὰρ χορίαμβος καὶ δύο ἴαμβοι καὶ τρεῖς τροχαῖοι, τὸ ἰθυφαλλικόν, ἕως τοῦ κομήσει.*

36. *Τοὺς γὰρ σπονδείους*] *Οἷον ἐν ταῖς ἀρτίοις δέχεται τὸν σπονδεῖον τὸ τροχαϊκόν· οὗτοι δ' ἐν ταῖς περιτταῖς τιθέασι· καὶ τὸ ἰαμβικὸν (ἐν ταῖς περιτταῖς), οὗτοι δὲ καὶ ἐν ταῖς ἀρτίαις τιθέασιν.*

37. *ἐν ταῖς μέσαις*] *Μέσαις τοῦ παντὸς μεγέθους ἔν τε τῇ δευτέρᾳ τοῦ ἰαμβικοῦ καὶ τῇ πρώτῃ τοῦ τροχαϊκοῦ.*

38. *ἄνδρες ἑταῖροι*] *Ἐν τῷ ἰαμβικῷ σπονδεῖον εἰς τὴν ἀρτίαν, λέγω δὴ τὴν τετάρτην, ἥ ἐστιν ἥδε δεῦρ' ἤδη. Καὶ ἐν τῇ τροχαϊκῇ, εἰς τὴν περιττήν, λέγω δὲ τὴν [μὴν] πρώτην, ἥ ἐστι τὴν γνώμην.*

39. *καὶ ξυνεγινόμην*] *Τοῦτο καὶ τὸ ἑξῆς Ἀνακρεόντειον ἔχουσι τὸν μὲν α χορίαμβον, εἶτα δύο ἰάμβους· καὶ πάλιν χορίαμβον καὶ ἴαμβον καὶ συλλαβήν.*

40. *Καὶ τὸ ἐκ τῶν ἀντισπάστων*] *Ἀντίσπαστος δέ ἐστιν ἐκ βραχείας καὶ δύο μακρῶν καὶ βραχείας. Εἴρηται δὲ ὅτι τὴν πρώτην συλλαβὴν τρέπει πρὸς τοὺς τέσσαρας δισυλλάβους καὶ ἡνίκα γίνεται ἡ πρώτη (μακρὰ) ἀντὶ βραχείας, γίνεται ὁ τέταρτος ἐπίτριτος, ὥσπερ ἐνταῦθα. Τρία τοίνυν πέφυκεν ἐκ δύο ἀντισπάστων παρὰ τὴν τελευταίαν συλλαβήν. Καταληκτικὰ γὰρ εἶπεν εἶναι αὐτά.*

5 *κομήσει*] *κομΐσει* M 8 (*ἐν ταῖς περιτταῖς*) Pauw, om. libb. 16 *τὴν πρώτην* Pauw, *τὴν μὴν πρ.* libb. 19 *ἴαμβον* Pauw, *τροχαῖον* libb. 25 *πρώτη (μακρὰ)* Pauw, *μακρὰ* om. libb. 27 *ἀντισπάστων παρὰ* Pauw, *ἀναπαίστων περὶ* libb.

41. *δικατάληκτον ὁ Φερεκράτης*] *Ἐπεὶ τὸ ἐκ δύο ἀντισπαστικῶν καταληκτικῶν δικατάληκτον εἶπε.*

42. *σύμπτυκτον ἀνάπαιστον*] *Οὐχ ὅτι ἐξ ἀναπαίστου σύγκειται, ἀλλ' ἔοικεν ἐν παραβάσει αὐτῷ κεχρῆσθαι ὁ Φερεκράτης μετὰ τὸ κομμάτιον ἐν τῷ καλουμένῳ ἀναπαίστῳ καὶ εἰ μὴ ἀναπαιστικὸν εἴη τὸ μέτρον.*

43. *ἄνδρες πρόσχετε τὸν νοῦν*] *Ἡ γὰρ τελευταία τε τὸν νοῦν κατακλεὶς ἀντισπαστική ἐστιν, ὅ ἐστιν ἀντίσπαστος παρὰ συλλαβὴν τὴν βραχεῖαν, ἥτις λείπει.*

44. *δεῦρο δηῦτε*] *Δοκεῖ δὲ τὸ Σαπφικὸν μὴ εἶναι ἀσυνάρτητον· δύο γὰρ τροχαϊκά εἰσι. Φαμὲν οὖν ὅτι ἐὰν ἅμα συναρτήσωμεν τὰ δύο τροχαϊκά, εὑρίσκεται ἐν τῇ τρίτῃ χώρᾳ τῇ περιττῇ σπονδεῖος, ὅπερ ἄτοπον εἰς μέτρον τροχαϊκόν.* S.

45. *Χοριάμβος καὶ ἴαμβος καὶ συλλαβή ἐστιν, ὅ ἐστιν ἑφθημιμερές, πέντε δὲ τοιαῦτα παρατίθεται.* S.

46. *καὶ ὁ ποὺς συνῆψε τὴν λέξιν*] *Οὐκ ἔτεμε γὰρ τὸ μέρος τοῦ λόγου εἰς τὴν κατακλεῖδα τὴν ἰαμβικήν, ἀλλὰ συνῆψε τῷ ἐφεξῆς ἱμερτῷ.*

Εἰς κεφ. ις'. Περὶ πολυσχηματίστων

ΣΧΟΛ. Α.

1. *Πολυσχημάτιστα δὲ καλεῖται, ὅταν παρὰ τοὺς ὡρισμένους τόπους τιθῶνται οἱ πόδες, οἷον αἱ*

2 *ἀντισπάστων παρὰ* Pauw, *ἀντ. περὶ* libb. 3 *σύμμικτον* M 9 *τε τὸν*] *τὸ* M 12 *Δοκεῖ δὲ τὸ Σαπφ*... in libris post verba scholii 45, lemma vero *δεῦρο δηῦτε* ante verba eiusdem scholii. 14 *ἐὰν ἅμα* MS, *ἅμα* om. TuGaisf. 25 *τίθενται* SMTu

ἄρτιοι τοῦ ἰαμβικοῦ δέχωνται σπονδεῖον ἢ δάκτυλον· ὅταν οὖν τις τῶν κωμικῶν θείη δάκτυλον ἢ σπονδεῖον ἐν ταῖς ἀρτίοις τοῦ ἰαμβικοῦ, εἶτ' οὖν ἐν ταῖς περιτταῖς τοῦ τροχαϊκοῦ, τὸ τοιοῦτον λέγεται πολυσχημάτιστον. Ἔδει δὲ πάλιν μετὰ τὰ ἀσυνάρτητα περὶ συγκεχυμένων εἰπεῖν καὶ ἑξῆς περὶ ἀπεμφαινόντων· συγκεχυμένον δέ ἐστιν, ὅταν συζυγίᾳ τινὶ ἑτέρα συζυγία ἐναντία ἐπιφέρηται· ἀπεμφαίνοντα δέ, ὅταν ἔν τινι μέτρῳ κακῶς, τουτέστι παρὰ τόπον, κεῖται πούς, οἷον εἰ ἐν ἰαμβικῷ εὑρεθείη ἐν ἀρτίᾳ βάσει σπονδεῖος ἢ ἐν τροχαϊκῷ ἐν περιττῇ· τότε γὰρ τοῦ ὅλου μονοειδοῦς ὄντος μία μόνη χώρα ἐστὶν ἀνώμαλος.

2. κατ' ἐπιλογισμὸν] Κατὰ λόγον τινὰ καὶ κοινωνίαν καὶ τῶν ποδῶν συγγένειαν.

3. πλῆθος ἐπιδέχεται σχημάτων] Οἷον κίνησιν χρόνων καὶ ἐκ τούτων διάφορον ποδῶν σχέσιν. Σχήματα γὰρ ἔλεγον τὴν ποιὰν τῶν ποδῶν καὶ τῶν χρόνων σύνθεσιν.

4. Τὸ Πριάπειον] Τὸ καθαρὸν Πριάπειον ἀντισπαστικόν ἐστι τετράμετρον καταληκτ(ικ)όν, τὴν δευτέραν ἰαμβικὴν ἔχον, οἷον

ἠριστήσαμεν ἰτρίου λεπτοῦ μικρὸν ἀπόκλας.

5. ἰαμβικῇ τῇ δευτέρᾳ] Ὑπερτιθεμένου γὰρ τοῦ τῆς μακρᾶς χρόνου ἐν τῷ ἰαμβικῷ γίνεται χοριαμβικὸν σχῆμα. Ὁ γὰρ διίαμβος, ὑπερθεὶς τὴν ἐν

1 ἄρτιοι M, ἄρτιαι STuGaisf. ἰαμβικοῦ] ἰάμβου libb. Gaisf. δέχονται STu 6 περὶ ἀποφαινόντων M 11 ἢ ἐν τροχαϊκῷ] ἢ ἐν τροχαίῳ libb.Gaisf. 12 ἐν περιττῇ] περιττὴ M 17 διάφορον Pauw, διαφόρων libb. 21 κατάληκτον Gaisf., ἀκατάληκτον MTu 23 ἀπόκλασμα MTu

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

ἀντίσπαστός ἐστιν, ἔχων τὴν μίαν λελυμένην· εἶτα ὁ δεύτερος χορίαμβος. ὁμοίως

Ταναγρίδεσσι λευκοπέπλοις·

καὶ τὸ τρίτον ἐστὶ

μέγᾳ δ' ἐμὴ γέγαθε·

καὶ τὸ τέταρτον

λιγουροκωτίλης·

καὶ τὸ πέμπτον

καὶ πεντήκονθ' οὐψιβίας.

Παραβεβίασται δὲ τοῦτο, ἔχον μακρὰν τὴν τελευταίαν, τὸ κοντ'· τὴν γὰρ πρώτην ἀδιάφορον ἔχει.

10. *Λιγουροκωτίλης*] *Βοιωτιακὴ ἡ τοῦ ο προσθήκη καὶ βραχεῖα μὲν ἡ ου. Πάλιν δὲ οἱ πρῶτοι πόδες εἰς τρίβραχυν ἀνελύθησαν· διὸ καὶ πεντασύλλαβοι αἱ πρῶται συζυγίαι εἰσίν. Ἀσυνήθως τὸ (πέμπτον) ἀντισπαστικὸν (ἐν τ)ῇ δευτέρᾳ χώρᾳ πολυσχημάτιστον ἐποίησε.*

11. *πόλιν δ' ἐπράθομεν*] *Καὶ ταῦτα ἀντισπαστικὰ δίμετρα βραχυκατάληκτα πολυσχημάτιστα· ὁ γὰρ πρῶτος ἀντίσπαστος, ἄνω στρέψας τὸν τελευταῖον τροχαῖον, πεποίηκε καθαρὸν χορίαμβον, τοῦ πρώτου ὄντος τροχαίου· ἡ δὲ ἀπόθεσις ἀντισπαστική. Τὸ δὲ*

πόλιν δ' ἐπράθομεν

ἀντίσπαστος καθαρὸς καὶ ἴαμβος, διὰ τὴν ἀδιαφορίαν. Τὸ δὲ

προφανὴς γλούκου δέ τις ᾄδων

9 *καὶ πεντηκοντουψιβίας* M 10 *Παραβεβίασται*] *παραβεβᾶσθαι* M 15 *τῷ ἀντισπαστικῷ ἡ δευτέρα χοριαμβικὴ* libb.

ἀντίσπαστος καὶ χοριάμβος καὶ συλλαβή, τὸ δὲ

πελέκεσιν δονεῖται·

ἀντίσπαστος ἔχων λελυμένην τὴν μίαν μακρὰν καὶ τροχαῖος.

12. *Καὶ τὸ Κρατίνειον*] *Τὸ καθαρὸν Κρατίνειον τετράμετρόν ἐστι καταληκτικόν, ἔχον τὴν πρώτην χοριαμβικήν, τὴν δευτέραν ἰαμβικήν, τὴν τρίτην τροχαϊκήν, τὴν κατακλεῖδα τροχαϊκήν, καὶ ἐν ταῖς ἰαμβικαῖς τοίνυν καὶ ταῖς τροχαϊκαῖς παρὰ τάξιν τιθέντες τοὺς σπονδείους πολυσχημάτιστον αὐτὸ ποιοῦσιν, οἷα ἐστὶν ἡ παράβασις ἥδε*

ἄνδρες ἑταῖροι θεῦρ' ἤδη τὴν γνώμην προΐσχετε.

ἡ πρώτη χοριαμβικὴ „ἄνδρες ἑται“. ἡ δευτέρα ἰαμβικὴ οὖσα ἐν τῇ ἀρτίῳ ἔχει τὸν σπονδεῖον „ροι δεῦρ' ἤδη“. ἡ τρίτη τροχαϊκὴ οὖσα ἐν τῇ περιττῇ ἔχει τὸν σπονδεῖον „τὴν γνώμην προ“ καὶ λοιπὸν ἡ κατακλεὶς τροχαϊκὴ „ίσχετε“.

Εἰ δυνατὸν καὶ μή τι μεῖζον πράττουσα τυγχάνει

ὁ πρῶτος χορίαμβος „εἰ δύνατον“. ὁ δεύτερος, ἐν ἰαμβικῇ γνησίῳ καὶ „μή τι μει“. ἡ τρίτη τροχαϊκὴ οὖσα ἐν τῇ περιττῇ ἔχει τὸν σπονδεῖον „ξον πράττουσα“. ἡ κατακλεὶς πάλιν τροχαϊκὴ „τυγχάνει“. Ἐξῆς ὁμοίως (ἐν) ταῖς ἰαμβικαῖς καὶ ταῖς τροχαϊκαῖς παρὰ τάξιν ὁ σπονδεῖος ἐποίησε τεθεὶς τὸ πολυσχημάτιστον, ὡς ἤδη εἴρηται [αὐτὸ] ἐν τῷ (περὶ τῶν) ἀσυναρτήτων.

2 *πελέκεσιν δονεῖται* legit scholiographus, *πελέκεσσι δ.* libb. 7 *τὴν τρίτην τροχαϊκὴν*] *τὴν* om. M 14 *ἐν τῇ ἀρτίῳ*] *τῇ* om. M 23 *ὁμοίως (ἐν) ταῖς ἰαμβικαῖς*] *ἐν* om. libb. Gaisf. 25 *τῷ περὶ τῶν ἀσυναρτήτων*] *τῷ ἀσυναρτήτῳ* libb. Gaisf.

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΟ ΠΕΡΙ ΠΟΙΗΜΑΤΟΣ.

1. *Ἰστέον ὅτι τὸ μέν ἐστι μετροῦν, ὡς ἡ συλλαβή, τὸ δὲ μετροῦν καὶ μετρούμενον, ὡς οἱ πόδες· μετρεῖται μὲν γὰρ ὑπὸ τῆς συλλαβῆς πᾶς πούς, μετρεῖ δ' αὐτὸς τὰ μέτρα· τὸ δὲ μετρούμενόν ἐστι, ὡς τὰ ποιήματα. Διαλαβὼν οὖν ὁ τεχνικὸς περὶ μόνου (τοῦ) μετροῦντος καὶ (τοῦ) μετροῦντος καὶ μετρουμένου, νῦν περὶ μόνου (τοῦ) μετρουμένου διδάσκει, ὅ ἐστι περὶ ποιήματος.*

2. *Ἀνόμοιοι δέ εἰσιν, ὅταν οἱ μὲν σύγκεινται ἐξ ἀντισπαστικῶν, οἱ δέ, εἰ τύχοι, ἐξ χοριαμβικῶν.*

3. *ἑξαμέτρου πρὸς πέντ.*] *Τὸ ἑξάμετρον καὶ τὸ ἐλεγεῖον ἐκ ποσοῦ ἔχουσι τὴν διαφοράν.*

4. *ὡς αἱ τραγῳδίαι*] *Ἃ μὲν αὐτῶν τοὺς ἰαμβικοὺς ἔχει στίχους, ἃ δὲ χορικὰ τὰ ἐκ κώλων συγκείμενα.*

5. *Κοινὰ δὲ συστηματικά*] *Συστηματικὰ γὰρ ἂν εἴη κοινωνοῦντα τοῖς κατὰ στίχον. Διὰ μὲν γὰρ τὰ ἐν τοῖς παλαιοῖς ἀντιγράφοις κατὰ δύο ὁρᾶν παραγεγραμμένα, ὥσπερ ἐν περιορισμῷ, συστήματα· προσέτι καὶ διὰ τὸ μηδὲν εὑρίσκεσθαι ἀριθμοῦ περιττοῦ ἐνταῦθα ὡσπερεὶ πλήρη καὶ ἀντιστρέφοντα ἀλλήλοις εὑρήσεται.*

6. *καὶ ἔτι διὰ τὸ μηδὲν*] *Οὔτε γὰρ ποιότητι οὔτε ποσότητι διαφέρει· κατὰ δυάδα δὲ διήρηται παρὰ τοῖς παλαιοῖς.*

15—17 Quartum scholion tertio continuatur in libb. et apud Gaisf. 20 *τά*] *τὸ* libb.Gaisf. 23 *ἐν τούτοις* Pauw, *ἐν ταύτῃ* libb. 25 *ποιότητα* ... 26 *ποσότητα* M

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



γὰρ ἑξάμετρον καὶ ἐλεγεῖα καὶ ἴαμβος, οὔτε κατὰ στίχον καὶ ὅμοια ἀλλήλοις, οὔτε κατὰ σχέσιν ἀντ-αποδιδόμενα.

15. οὐ γὰρ τεταγμένῳ ἀριθμῷ ἐπῶν] ἀλλ' ἀτάκτως ὅποι ποτὲ τὸ ἄτακτον ἐποίησε μετρικόν.

Οὐ γὰρ τεταγμένῳ ἀριθμῷ] μετὰ γὰρ δέκα στίχους ἐπιφέρει ἴαμβον, καὶ πάλιν μετὰ πέντε καὶ ὀκτώ.

16. ἐξ ὁμοίων δέ ἐστι] Περὶ τούτων καὶ ἐν τῇ εἰσβολῇ ἐπεσημήνατο· τῶν γὰρ μέτρων τὰ μὲν ὑπὸ ποδός, τὰ δὲ ὑπὸ συζυγίας, ὡς τὰ ἰαμβικὰ καὶ τὰ ὅμοια, τὰ δὲ ὑπὸ περιόδου καταμετρεῖται· περίοδος δέ ἐστιν ἡ ἐκ διαφόρων ποδῶν ἐν τῷ στίχῳ σύνθεσις, οἷον δακτύλου τροχαίου ἀναπαίστου ἰάμβου καὶ εἴ τι τοιοῦτον· ἀκολούθων μέντοι ὄντων καὶ τῶν ἑξῆς, οἷον καὶ τὸ προσοδιακόν ἐστιν.

17. ἢ συζυγίας ἢ περιόδου] Περίοδός ἐστι ποδικὴ ἐν τρισὶ ποσὶ καταρίθμησις· ὥσπερ γὰρ τὸ μὲν δακτυλικὸν ὑπὸ ποδὸς μετρεῖται, τὰ δὲ ὑπὸ συζυγίας, τουτέστι δύο ποδῶν ἁπλῶν, οὕτω καὶ ὑπὸ περιόδου, τουτέστι τριῶν ποδῶν, ὡς ἐν συζυγίᾳ καταμετρεῖται ἄνευ ἀριθμοῦ τινὸς ὡρισμένου, οὐκ ἐπιφερομένης τινὸς ἀντιστρόφου, ἀλλ' ὥσπερ ἀδιαφόρως, εἰ τύχοι, τριμέτρων (ὄντων) δύο καὶ ἑνὸς τετραμέτρου καὶ μονομέτρου καὶ ἑξῆς ὁμοίως, ἀδιαφορως οὔσης τῆς αὐτοῦ ποσότητος. Περίοδος γὰρ ἡ ἐκ διαφόρων κώλων περικοπή, ὡς ἐν τῷ παρ' Ἀλκαίῳ ᾄσματι· ἀνταπόδοσις γὰρ γίνεται συστηματική.

18. Ἑπτά μοι δὶς τριάκοντα] Τοῦτο παιωνικόν ἐστι, τὴν πρώτην καὶ δευτέραν συζυγίαν ἔχον συνηρημένην, ἑπτά μοι δὶς τριά· ἔστι γὰρ ὁ πρῶτος

15 προσωδιακὸν M 16 περιόδου] περὶ ποδὸς M 23 ὄντων adiecimus.

πούς, τὰς τελευταίας συνελὼν καὶ κρητικὸν ποιήσας, ἐκ – ⏑ –, καὶ ἀντὶ δύο βραχειῶν μακρὰν μίαν· ἡ δὲ τρίτη καὶ τετάρτη ὁμοίως ἔχουσι τὸν πρῶτον παίωνα, κοντα βασιλευς σχεδον.

19. Ὑπολείπεται δὲ ἡμῖν] Μικτὰ μὲν οὖν ἐστίν, ἃ παραθέσεις ἔχουσι, τὰ τρία ἄσματα· τὰ δὲ ἐν σχέσει (?)

20. ὡς εἴ τις τὴν πρώτην ᾠδὴν] Ἑκατέρα μὲν γὰρ τῶν ᾠδῶν κατὰ σύστημα γέγραπται, διάφορον δὲ ἔχει μέτρον, ὡς ἡ πρώτη πρὸς τὴν δευτέραν· ἡ μὲν γὰρ πρώτη ἐκ τοῦ ἐπιωνικοῦ σύγκειται, ἡ δὲ δευτέρα ἐκ τοῦ ἐπιχοριαμβικοῦ· εἴ τις οὖν μίξειεν ἀμφοτέρας τὰς ᾠδάς, οὔσας συστηματικάς, εἴποι ἂν τὸ μέτρον ἐκ μικτῶν συστηματικῶν συγκεῖσθαι· καὶ ἔστι τῆς μὲν πρώτης ᾠδῆς ἀρχὴ

ὦ ναξ Ἄπολλον παῖ μεγάλω Διός

ἐπιωνική· τῆς δὲ δευτέρας

χαῖρε Κυλλάνας ὁ μέδεις. σὲ γάρ μοι

ἐπιχοριαμβική.

21. κοιναὶ δέ ἐστι συστηματικαὶ] Τὰ δυνάμενα ἐπιδέξασθαι τὰ δύο εἴδη· τὰ δὲ δύο εἴδη εἰσὶν ὑποπεπτωκότα τῷ τε ἐξ ὁμοίων καὶ τῷ κατὰ σχέσιν. Ἐξ ὁμοίων ἄπειρος μὲν οὖν φήσειεν εἶναι ᾆσμα, διὰ τὸ ἐκ τῶν αὐτῶν ποδῶν τῶν ἰωνικῶν καταμετρεῖσθαι, τῇ δὲ ποσότητι ἐναλλάττειν· ὁ δὲ ἔμπειρος, κατὰ σχέσιν· ἐπεὶ ἀνταπόδοσις γίνεται τῶν στροφῶν.

22. εἰκότως δὲ οὐκ ἔστιν ἔλαττον τῶν τριῶν

2 μακρᾶς μιᾶς M 6 τὰ δ' ἐν σχέσει M 11 ἐπιωνικοῦ] παιωνικοῦ libb., ἰωνικοῦ Heph. 12 χοριαμβικοῦ libb.Gaisf. 18 ὁ μέδεις M, ὁ μέδων Tu 19 ἢ ἐπιχοριαμβ. M 25 ποσότητι Pauw, ποιότητι libb. ἐναλλάττει M 28 In libb. et

ἀριθμῶν] *Τὸ γὰρ ὅμοιον, τῶν .ίππρὸς τινὶ γὰρ ὅμοιον. Προτίθεμεν γὰρ καὶ τὸ ἀνόμοιον. Καὶ πάντως γίνεται οὐ τῶν τριῶν ἐλάσσονα, ἐν οἷς τὰ μὲν περιέχοντα ἐν ἀρχῇ καὶ τέλει συστηματικά, τὰ δὲ περιεχόμενα. Ταῦτα ἢ ἐν τριάδι ἢ ἐν πεντάδι· οὐ γὰρ δυνατὸν (γίνεσθαι ἐλάσσονα ἢ τῶν) ἐν τριάδι, ἐπεὶ γίνεται μεσῳδικά.*

23. *περιῳδικὰ δὲ*] *Ὥστε τρόπον τινὰ καὶ προῳδικὰ εἶναι καὶ ἐπῳδικά, ἑκάτερον ἕν, καὶ διὰ τοῦτο καὶ περιῳδικὰ καλεῖται.*

24. *κατὰ περικοπὴν δὲ*] *Ὥστε, εἰ τύχοι, γενέσθαι περικοπὴν κώλων καὶ στίχων λϛ΄ διαφόρων, ἢ ὅσων βούλεταί τις, καὶ ἐπάγεσθαι ὅμοια μὲν λϛ΄, τῶν μερῶν αὐτῶν ἀνομοίων ὄντων, οἷον ἐν συστήμασι τρισὶν ἢ ὅσοις βούλεται ὁ ποιῶν, κωλικοῖς ἢ στιχηροῖς, οἷον δύο ἢ πλείονα, ἀνόμοια ἀλλήλοις, καὶ ἑξῆς ἐπάγει τοσαῦτα συστήματα, ὅμοια .τοῖς προκειμένοις· πάλιν, ἀλλήλοις μὲν ἀνόμοιά ἐστιν, ἀνταποδιδόμενα δὲ τοῖς προκειμένοις συστήμασιν, οἷον εἰ τύχοι, δύο περικοπαί, ἐκ τριῶν συστημάτων, αβγ, αβγ. ταῦτα ἀλλήλοις ἀνόμοια, ἐπιφερομένων δὲ αὐτοῖς ὁμοίων, γίνεται τὸ κατὰ περικοπὴν ἀνομοιομερές· τοιαῦτα δέ ἐστιν ἐν δυάδι, τὰ ἐν ταῖς κωμικαῖς παραβάσεσιν, οἷον τὸ μέλος καὶ τὸ ἐπίρρημα ἑξῆς κείμενα ἀλλήλοις ἐστὶν ἀνόμοια· ἀλλ' ἐπαγομένου αὐτοῖς τοῦ τε ἀντιστρέφοντος τῷ μέλει καὶ τοῦ ἀντεπιρρήματος, γίνεται τὸ κατὰ περικοπὴν ἀν-*

apud Gaisf. continua scriptura cohaeret, non distinctis iis verbis quae sunt lemma. 3 *οὐ τῶν τριῶν ἐλάσσονα*] *ὁ τρίτος ἕκτος* libb.Gaisf. 6 (*γίνεσθαι ἐλάσσονα ἢ τῶν*) om. libb.Gaisf. *ἐν τριάδι ... 7 γίνεται*] *τριάδι ... γίνονται* M 8 *προῳδικὰ* Gaisf., *περιῳδικὰ* libb. 15 *ποιῶν*] *ποῖον* M 17 *ἐπάγει*] *ἐπαγάγη* M 24 *μέλος*] *μέρος* M

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

ἐλάχιστον ὡς μηδὲ στροφῆς ὅλης εἶναι ὑπονοητικά.
ὡς μηδὲ στροφῆς ὅλης εἶναι] *ὡς εἰ τύχοι τριῶν κώλων, ὥστε μὴ δύνασθαι εἰς στροφὰς διαιρεῖσθαι.*

29. *ἀμοιβαῖον*] *Ὥσπερ Ἠλέκτρα διαλέγεται πρὸς τὸν χορὸν παρὰ Σοφοκλεῖ.*

30. *ἢ κατὰ ἐφύμνιον*] *Τὸ ἐπᾳδόμενον μέτρῳ τῷ προκειμένῳ.*

31. *ἢ κατὰ ἐπῳδὸν*] *Τὸ ἐπᾳδόμενον μέτρῳ τῷ προκειμένῳ ἢ τοῖς προκειμένοις.*

32. (*ἢ κατ' ἄλλο τι ἀναφώνημα*)] *Ὡς τὸ Φεῦ φεῦ, Ἰοὺ ἰού.*

33. *εἰς δύο*] *διαιρέσεις* . . . . . .

34. (*ἑτερόστροφον*)] *Ἔστι τοιοῦτον ἑτερόστροφον προειρημένου τοῦ τῆς διαιρέσεως τρόπου. Ἐπὶ γὰρ δύο, ἑτερόστροφα· καθ' ὃ ἐπὶ δύο „ἕτερος", ἐπὶ δὲ πολλῶν „ἄλλος".*

ὅλης εἶναι] *Ὡς εἰ τύχοι, τριῶν κώλων, ὥστε μὴ δύνασθαι εἰς στροφὰς διαιρεῖσθαι. Καίτοι εἰκῇ γεγραμμένα. Ἀλλ' οὐδ' ἐν τὸ δυνατὸν τοῦ διαιρεῖσθαι ἔχοντος. Ἀμοιβαῖον ὥσπερ Ἠλέκτρα διαλέγεται πρὸς τὸν χορὸν παρὰ Σοφοκλεῖ· ἢ κατὰ ἐφύμνιον τὸ ἐπᾳδόμενον μέτρῳ τῷ προκειμένῳ· ἢ κατὰ ἐπῳδὸν τὸ ἐπᾳδόμενον μέτρῳ τῷ προκειμένῳ ἢ τοῖς προκειμένοις. Εἰς δύο διαιρέσεις, ὡς τὸ Φεῦ φεῦ, Ἰοὺ ἰού· ἔστι τοιοῦτον ἑτερόστροφον προειρημένου τοῦ τῆς διαιρέσεως τρόπου. Ἐπὶ γὰρ δύο ἑτερόστροφα, καθ' ὃ ἐπὶ δύο, ἕτερος· ἐπὶ δὲ πολλῶν, ἄλλος. Ὥστε δύνασθαι διὰ ποσότητα κώλων πλειόνων ὄντων, τὸ ἐναντίον τῇ ἀντιστρόφῳ. Τὰ τηλικούτου μεγέθους ὄντα, φησίν, ἐπ' ἐλάχιστον, ὡς μηδὲ στροφῆς ὅλης εἶναι ὑπονοητικά. Βραχυκατάληκτα, βραχυτέρου κώλου ἐπιφοράν. Τοῦτο γὰρ ὡσπερεὶ τεκμήριόν ἐστι μακροῖς ἐπενεχθέν. Κατὰ περιορισμοὺς δὲ ἀνίσους οἷα ἐστὶν ἡ εἰσβολὴ τῆς Λευκαδίας Μενάνδρου. Οἷον βραχέος κώλου ἐπιφοράν. Οἷον οὐ πάντα δίμετρα, ἀλλὰ τὰ μὲν δίμετρα, τὰ δὲ μονόμετρα καταληκτικά. Εἰ γὰρ ἴσα εἴη τὰ διαιροῦντα καὶ δι' ἴσων γένοιτο κώλων, γίνεται συστηματικὰ κατὰ σχέσιν.* Ad quae hoc annotat Gaisf.: „Valde sunt confusa, omissis Hephaestionis verbis quae explicanda sumpserat scholiastes." 6 *τὸ θεὸν ἐπᾳδόμενον* M 10 lemma om. libb. 12 lemma om. libb. 16 *ἄλλος* M

35. (*Ἄτμητα*)] *Καίτοι εἰκῇ γεγραμμένα, ἀλλ' οὐδὲν τὸ δυνατὸν τοῦ διαιρεῖσθαι ἔχοντα.*

36. *ὥστε δύνασθαι*] *Διὰ ποσότητα κώλων πλειόνων ὄντων (ἢ ὡς αὐ)τὸ ἐναντίον τῇ ἀντιστρόφῳ (εἶναι).*

37. *βραχυκατάληξιν*] *Βραχυτέρου κώλου ἐπιφοράν. Τοῦτο γὰρ ὡσπερεὶ (τοῦ τέλους) τεκμήριόν ἐστι μακροτέροις ἐπενεχθέν.*

39. *κατὰ περιορισμοὺς δὲ ἀνίσους*] *Οἷα ἐστὶν ἡ εἰσβολὴ τῆς Λευκαδίας Μενάνδρου.*

40. (*κατάληξιν*)] *Οἷον βραχέος κώλου ἐπιφοράν.*

41. *οὐ μέντοι ἴσοις μεγέθεσι*] *Οἷον οὐ πάντα δίμετρα, ἀλλὰ τὰ μὲν δίμετρα, τὰ δὲ μονόμετρα, (τὰ δὲ δίμετρα) καταληκτικά. Εἰ γὰρ ἴσα εἴη τὰ διαιρούμενα καὶ δι' ἴσων γένοιτο κώλων, γίνεται συστηματικὰ κατὰ σχέσιν.*

42. *ἐν ταῖς παρόδοις*] *Οὕτω καλεῖται ἡ πρώτη τῶν χορῶν ἐπὶ τὴν σκηνὴν εἴσοδος.*

43. *τῶν ἴσων συζυγιῶν*] *Οἷον τῶν ἰσοκώλων, ἐπεὶ γίνεται κατὰ σχέσιν· μέχρι δὲ τῶν ἐνταῦθα διαίρεσις.*

44. *τὰ καλούμενα ἐφύμνια*] *Ταῦτα καὶ τὰ μέτρα διαιρεῖν εἰώθασι.*

45. *μὴ μετὰ στροφὴν*] *Οἷον μεταξὺ δύο στίχων, ὡς τὰ μεσῳδικά.*

1 lemma om. libb. 2 *οὐδὲν* M, *οὐδ' ἐν* Tu *ἔχοντα*] *ἔχοντος* libb. 4 (*ἢ ὡς αὐ*)*τὸ*] *τὸ* libb.Gaisf. 5 *εἶναι* om. libb.Gaisf. 6 *βραχυκατάληκτα* libb.Gaisf. *ἐπιφορᾷ* M 7 (*τοῦ τέλους*) om. libb.Gaisf. 8 *μακροτέροις*] *μακροῖς* libb. Gaisf. 11 lemma om. libb. *ἐπιφορᾷ* M 14 (*τὰ δὲ δίμετρα*) om. libb.Gaisf. 16 *διαιρούμενα*] *διαιροῦντα* libb. Gaisf. 25 Post *ὡς τὰ μεσῳδικὰ* in libb. et apud Gaisf.: *ὑπὸ τῆς ἐπῳδοῦ. μεγάλῳ στίχῳ ἀντισπαστικῷ ἢ ἀναπαιστικῷ* leguntur. Quae duorum scholiorum sunt fragmenta. Et priora.

46. *ὑπὸ τῆς ἐπῳδοῦ.*

47. *ὅταν δὲ ἔμπαλιν*] *Οἷον ὅταν τὸ βραχὺ προτάττηται μεγάλῳ στίχῳ, ἀντισπαστικῷ ἢ ἀναπαιστικῷ.*

48. *προῳδὸς*] *Προτέτακται γὰρ ὁ ἐπῳδός· ἀντισπαστικὰ γάρ εἰσιν, οἷον τὸ μὲν ἡγούμενον, δίμετρον ἀκατάληκτον, τὸ δὲ ἑπόμενον, τετράμετρον ὑπερκατάληκτον.*

49. *ὅταν περιέχῃ μέντοι*] *Ὡς τὰ μεσῳδικὰ καὶ*

50. *τὰ ἐφύμνια*] *Διαφόρως ταῦτα τὰ ἐφύμνια συνέχειαν φυλάττουσι πρὸς τὰς στροφάς, τὰ δὲ ἐπιφθέγματα οὐ.* (!)

51. cf. Polluc. IV. 111: *Τῶν δὲ χορικῶν ᾀσμάτων τῶν κωμικῶν ἕν τι καὶ ἡ παράβασις, ὅταν ἃ ὁ ποιητὴς πρὸς τὸ θέατρον βούλεται λέγειν, ὁ χορὸς παρελθὼν λέγῃ ταῦτα. Ἐπιεικῶς δὲ αὐτὸ ποιοῦσιν οἱ κωμῳδοποιηταί, τραγικὸν δὲ οὐκ ἔστιν, ἀλλ' Εὐριπίδης αὐτὸ πεποίηκεν ἐν πολλοῖς δράμασιν. Ἐν μέν γε τῇ Δανάῃ, τὸν χορὸν τὰς γυναῖκας ὑπὲρ αὐτοῦ τι ποιήσας παράδειν, ἐκλαθόμενος, ὡς ἄνδρας λέγειν ἐποίησε τῷ σχήματι τῆς λέξεως τὰς γυναῖκας. Καὶ Σοφοκλῆς δὲ αὐτὸ ἐκ τῆς πρὸς ἐκεῖνον ἀμίλλης ποιεῖ σπανιάκις, ὥσπερ ἐν Ἱππόνῳ. Τῆς μέντοι παραβάσεως τῆς κωμικῆς ἑπτὰ ἂν εἴη μέρη, κομμάτιον, παράβασις, μακρόν, στροφή, ἐπίρρημα, ἀντίστροφος, ἀντεπίρρημα. Ὧν τὸ μὲν κομ-*

---

quidem *ὑπὸ τῆς ἐπῳδοῦ* ex scholio de epodis restiterunt (46), posteriora *μεγάλῳ στίχῳ ἀντ. ἢ ἀναπ.* post verba *ὅταν δὲ ἔμπαλιν*] *οἷον ὅταν τὸ βραχὺ προτάττηται* quae in libb. nostris subsequuntur, transtulimus (schol. 47). 8 *ὑπερκατάληκτον*] *ἀκατάληκτον* libb.Gaisf. 10 Haec in libb. et apud Gaisf. nec a truncato schol. 48 separata nec lemmate *τὰ ἐφύμνια* a sequentibus distincta leguntur.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



ἅπαξ εἰρημένας λέξεις καὶ πρὸς τὰ ἐναντία καὶ μαχόμενα τῶν ὀνομάτων. Ἡ δὲ περιεστιγμένη διπλῆ πρὸς τὰς Ζηνοδότου καὶ Κράτητος γραφὰς καὶ αὐτοῦ Ἀριστάρχου. Ὁ δὲ ὄβελος πρὸς τὰ νόθα καὶ ἀθετούμενα. Ὁ δὲ μετὰ ὀβέλου ἀστερίσκος, ἔνθα εἰσὶ μὲν τὰ ἔπη τοῦ ποιητοῦ, οὐκ ἄλλως (sic) δὲ κεῖνται καὶ ἐν ἄλλῳ. Ὁ δὲ καθ' ἑαυτὸν ἀστερίσκος, ἔνθα καλῶς εἴρηνται τὰ ἔπη ἐν αὐτῷ τῷ τρόπῳ (sic) ἔνθα κεῖνται. Τὸ δὲ καθ' ἑαυτὸ ἀντίσιγμα, ὅταν ταὐτολογῇ καὶ τὴν αὐτὴν διάνοιαν δεύτερον λέγῃ: — S.

Ἰστέον, ὅτι αἱ ῥαψῳδίαι Ὁμήρου παρὰ τῶν παλαιῶν κατὰ συνάφειαν ηὐδῶντο κορωνίδι μόνη διαστελλομένη (sic), ἄλλῳ δὲ οὐδενί. Τῆς δὲ κορωνίδος τοῦτό ἐστι τὸ σημεῖον ⸝. Λέγεται δὲ κατὰ μεταφορὰν ἀπὸ τῆς ἐν τοῖς πλοίοις ἀναπεκαμμένης κορωνίδος. S.

PROCLI

CHRESTOMATHIAE GRAMMATICAE

FRAGMENTA.

Photianae bibliothecae e Procli chrestomathia excerptis inseruimus quae ex eadem chrestomathia petita in libris Iliadis manuscriptis Veneto 484 et Escurialensi leguntur.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

Διαλαμβάνει δὲ καὶ περὶ κρίσεως ποιήματος, ἐν ᾧ παραδίδωσιν ἤθους καὶ πάθους διαφοράν. Καὶ ὅτι τῆς ποιητικῆς τὸ μέν ἐστι διηγηματικόν, τὸ δὲ μιμητικόν· καὶ τὸ μὲν διηγηματικὸν ἐκφέρεται δι' ἐπους ἰάμβου τε καὶ ἐλεγείου καὶ μέλους· τὸ δὲ μιμητικὸν διὰ τραγῳδίας, σατύρων τε καὶ κωμῳδίας.

(Περὶ ἔπους.)

Καὶ ὅτι τὸ ἔπος πρῶτον μὲν ἐφεῦρε Φημονόη ἡ Ἀπόλλωνος προφῆτις, ἑξαμέτροις χρησμοῖς χρησαμένη· καὶ ἐπειδὴ τοῖς χρησμοῖς τὰ πράγματα εἵπετο καὶ σύμφωνα ἦν, ἔπος (ἀπὸ τοῦ ἕπεσθαι) τὸ ἐκ (τούτων) τῶν μέτρων κληθῆναι. Οἱ δέ φασιν, ὅτι διὰ τὴν κατασκευὴν καὶ τὴν ἄγαν ὑπεροχήν, τὴν ἐν τοῖς ἑξαμέτροις θεωρουμένην, τὸ κοινὸν ὄνομα παντὸς τοῦ λόγου τὸ ἑξάμετρον ἰδιώσατο καὶ ἐκλήθη ἔπος, καθάπερ καὶ ὁ Ὅμηρος τὸν ποιητὴν καὶ ὁ Δημοσθένης τὸν ῥήτορα ᾠκειώσατο· ἐπεὶ καὶ τὰ τρίμετρα ἔπη προσηγόρευον.

Γεγόνασι δὲ τοῦ ἔπους ποιηταὶ κράτιστοι μὲν Ὅμηρος, Ἡσίοδος, Πείσανδρος, Πανύασις, Ἀντίμαχος. Διέρχεται δὲ τούτων, ὡς οἷόν τε, καὶ γένος καὶ πατρίδας καί τινας ἐπὶ μέρους πράξεις.

11. E codd. Veneto et Escurialensi.

Πρόκλου χρηστομαθίας τῶν εἰς δ' διηρημένων τὸ α'. Ὁμήρου χρόνοι βίος χαρακτὴρ ἀναγραφὴ ποιημάτων.

Ἐπῶν ποιηταὶ γεγόνασι πολλοί· τούτων δέ εἰσι κράτιστοι Ὅμηρος, Ἡσίοδος, Πείσανδρος, Πανύασσις, Ἀντίμαχος. Ὅμηρος μὲν οὖν τίνων γονέων ἢ ποίας ἐγένετο πατρίδος, οὐ ῥᾴδιον ἀποφήνασθαι· οὔτε γὰρ αὐτός τι λελάληκεν, ἀλλ' οὐδὲ οἱ περὶ αὐτοῦ εἰπόντες συμπεφωνήκασιν, ἀλλ' ἐκ τοῦ μη-

δὲν ῥητῶς ἐμφαίνειν περὶ τούτων τὴν ποίησιν αὐτοῦ μετὰ πολλῆς ἀδείας ἕκαστος οἷς ἐβούλετο ἐχαρίσατο. Καὶ διὰ τοῦτο οἱ μὲν Κολοφώνιον αὐτὸν ἀνηγόρευσαν, οἱ δὲ Χῖον, οἱ δὲ Σμυρναῖον, οἱ δὲ Ἰήτην, ἄλλοι δὲ Κυμαῖον· καὶ καθόλου πᾶσα πόλις ἀντιποιεῖται τοῦ ἀνδρός, ὅθεν εἰκότως ἂν κοσμοπολίτης λέγοιτο. Οἱ μὲν οὖν Σμυρναῖον αὐτὸν ἀποφαινόμενοι Μαίονος μὲν πατρὸς λέγουσιν εἶναι, γεννηθῆναι δὲ ἐπὶ Μέλητος τοῦ ποταμοῦ, ὅθεν καὶ Μελησιγενῆ ὀνομασθῆναι, δοθέντα δὲ Χίοις εἰς ὁμηρείαν Ὁμηρον κληθῆναι. Οἱ δὲ ἀπὸ τῆς τῶν ὀμμάτων πηρώσεως τούτου τυχεῖν αὐτόν φασι τοῦ ὀνόματος· τοὺς γὰρ τυφλοὺς ὑπὸ τῶν Αἰολέων ὁμήρους καλεῖσθαι. Ἑλλάνικος δὲ καὶ Δαμάστης καὶ Φερεκύδης εἰς Ὀρφέα τὸ γένος ἀνάγουσιν αὐτοῦ. Μαίονα γάρ φασι τὸν Ὁμήρου πατέρα καὶ Δῖον τὸν Ἡσιόδου γενέσθαι Ἀπελλίδος, τοῦ Μελανωποῦ, τοῦ Ἐπιφραδέος, τοῦ Χαριφήμου, τοῦ Φιλοτερπέος, τοῦ Ἰδμονίδα, τοῦ Εὐκλέους, τοῦ Δωρίωνος, τοῦ Ὀρφέως. Γοργίας δὲ ὁ Λεοντῖνος εἰς Μουσαῖον αὐτὸν ἀνάγει. Περὶ δὲ τῆς τελευτῆς αὐτοῦ λόγος τις φέρεται τοιοῦτος. Ἀνελεῖν φασὶν αὐτῷ τὸν θεόν, χρωμένῳ περὶ ἀσφαλείας, τάδε

ἔστιν Ἴος νῆσος, μητρὸς πατρίς, ἥ σε θανόντα
δέξεται· ἀλλὰ νέων ἀνδρῶν αἴνιγμα φύλαξαι.

Λέγουσιν οὖν αὐτὸν εἰς Ἴον πλεύσαντα διατρῖψαι μὲν παρὰ Κρεωφύλῳ, γράψαντα δὲ Οἰχαλίας ἅλωσιν τούτῳ χαρίσασθαι, ἥτις νῦν ὡς Κρεωφύλου περιφέρεται. Καθεζόμενον δὲ ἐπί τινος ἀκτῆς, θεασάμενον ἁλιεῖς, προσειπεῖν αὐτοὺς καὶ ἀνακρῖναι τοῖσδε τοῖς ἔπεσιν

ἄνδρες ἀπ' Ἀρκαδίης θηρήτορες, ἦ ῥ' ἔχομέν τι;

ὑποτυχόντα δὲ αὐτῶν ἕνα εἰπεῖν

οὓς ἕλομεν, λιπόμεσθ', οὓς δ' οὐχ ἕλομεν, φερόμεσθα.

Οὐκ ἐπιβάλλοντος δὲ αὐτοῦ διελέσθαι τὸ αἴνιγμα, ὅτι ἐπ' ἰχθυίαν καταβάντες ἀφήμαρτον, φθειρισάμενοι δέ, ὅσους μὲν ἔλαβον τῶν φθειρῶν ἀποκτείναντες ἀπολείπουσιν, ὅσοι δὲ αὐτοὺς διέφυγον, τούτους ἀποκομίζουσιν, οὕτω δὲ ἐκεῖνον ἀθυμήσαντα, σύννουν ἀπιέναι, τοῦ χρησμοῦ ἔννοιαν λαμβάνοντα· καὶ οὕτως ὀλισθέντα περιπταῖσαι λίθῳ καὶ τριταῖον τελευτῆσαι. Ἀλλὰ δὴ ταῦτα μὲν πολλῆς ἔχεται ζητήσεως· ἵνα δὲ μηδὲ τούτων ἄπειρος ὑπάρχῃς, διὰ τοῦτο εἰς ταῦτα κατεχώρησα. Τυφλὸν δὲ ὅσοι τοῦτον ἀπεφήναντο, αὐτοί μοι δοκοῦσι τὴν διάνοιαν πεπηρῶσθαι· τοσαῦτα γὰρ κατεῖδεν ὁ ἄνθρωπος ὅσα οὐδεὶς πώποτε.

Εἰσὶ δὲ οἵτινες ἀνεψιὸν αὐτὸν Ἡσιόδου παρέδοσαν, ἀτριβεῖς ὄντες ποιήσεως· τοσοῦτον γὰρ ἀπέχουσι τῷ γένει προσήκειν, ὅσον ἡ ποίησις διέστηκεν αὐτῶν. Ἄλλως δὲ οὐδὲ τοῖς χρόνοις συνεπέβαλον ἀλλήλοις. Ἄθλιοι δὲ οἱ τὸ αἴνιγμα πλάσαντες τοῦτο

Ἡσίοδος Μούσαις Ἑλικωνίσι τόνδ' ἀνέθηκεν,
ὕμνῳ νικήσας ἐν Χαλκίδι δῖον Ὅμηρον·

Ἀλλὰ γὰρ ἐπλανήθησαν ἐκ τῶν Ἡσιοδείων ἡμερῶν· ἕτερον γάρ τι σημαίνει. Τοῖς δὲ χρόνοις αὐτὸν οἱ μὲν περὶ τὸν Ἀρίσταρχόν φασι γενέσθαι κατὰ τὴν τῆς Ἰωνίας ἀποικίαν, ἥτις ὑστερεῖ τῆς τῶν Ἡρακλειδῶν καθόδου ἔτεσιν ἑξήκοντα, τὸ δὲ περὶ τοὺς Ἡρακλείδας λείπεται τῶν Τρωϊκῶν ἔτεσιν ὀγδοήκοντα· οἱ δὲ περὶ Κράτητα ἀνάγουσιν αὐτὸν εἰς τοὺς Τρωϊκοὺς χρόνους. Φαίνεται δὲ γηραιὸς ἐκλελοιπὼς τὸν βίον· ἡ γὰρ ἀνυπέρβλητος ἀκρίβεια τῶν

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



ποδίζωμεν· τὰ δὲ περιέχοντά ἐστι ταῦτα. Ζεὺς βουλεύεται μετὰ τῆς Θέμιδος περὶ τοῦ Τρωϊκοῦ πολέμου· παραγενομένη δὲ Ἔρις εὐωχουμένων τῶν θεῶν ἐν τοῖς Πηλέως γάμοις νεῖκος περὶ κάλλους ἐνίστησιν Ἀθηνᾷ, Ἥρᾳ καὶ Ἀφροδίτῃ, αἳ πρὸς Ἀλέξανδρον ἐν Ἴδῃ κατὰ Διὸς προσταγὴν ὑφ' Ἑρμοῦ πρὸς τὴν κρίσιν ἄγονται· καὶ προκρίνει τὴν Ἀφροδίτην ἐπαρθεὶς τοῖς Ἑλένης γάμοις Ἀλέξανδρος. Ἔπειτα δέ, Ἀφροδίτης ὑποθεμένης, ναυπηγεῖται· καὶ Ἕλενος περὶ τῶν μελλόντων αὐτοῖς προθεσπίζει· καὶ ἡ Ἀφροδίτη Αἰνείαν συμπλεῖν αὐτῷ κελεύει· καὶ Κασσάνδρα περὶ τῶν μελλόντων προδηλοῖ· ἐπιβὰς δὲ τῇ Λακεδαιμονίᾳ Ἀλέξανδρος ξενίζεται παρὰ τοῖς Τυνδαρίδαις καὶ μετὰ ταῦτα ἐν τῇ Σπάρτῃ παρὰ Μενελάῳ· καὶ Ἑλένῃ παρὰ τὴν εὐωχίαν δίδωσι δῶρα ὁ Ἀλέξανδρος. Καὶ μετὰ ταῦτα Μενέλαος εἰς Κρήτην ἐκπλεῖ, κελεύσας τὴν Ἑλένην τοῖς ξένοις τὰ ἐπιτήδεια παρέχειν, ἕως ἂν ἀπαλλαγῶσιν. Ἐν τούτῳ δὲ Ἀφροδίτη συνάγει τὴν Ἑλένην τῷ Ἀλεξάνδρῳ· καὶ μετὰ τὴν μῖξιν τὰ πλεῖστα κτήματα ἐνθέμενοι νυκτὸς ἀποπλέουσι· χειμῶνα δὲ αὐτοῖς ἐφίστησιν Ἥρα· καὶ προσενεχθεὶς Σιδῶνι ὁ Ἀλέξανδρος αἱρεῖ τὴν πόλιν, καὶ ἀποπλεύσας εἰς Ἴλιον γάμους τῆς Ἑλένης ἐπετέλεσεν. Ἐν τούτῳ δὲ Κάστωρ μετὰ Πολυδεύκους τὰς Ἴδα καὶ Λυγκέως βοῦς ὑφαιρούμενοι ἐφωράθησαν· καὶ Κάστωρ μὲν ὑπὸ τοῦ Ἴδα ἀναιρεῖται, Λυγκεὺς δὲ καὶ Ἴδας ὑπὸ Πολυδεύκους, καὶ Ζεὺς αὐτοῖς ἑτερήμερον νέμει τὴν ἀθανασίαν. Καὶ μετὰ ταῦτα Ἶρις ἀναγγέλλει τῷ Μενελάῳ τὰ γεγονότα κατὰ τὸν οἶκον, ὁ δὲ παραγενόμενος περὶ τῆς ἐπ' Ἰλίου στρατείας βουλεύεται μετὰ τοῦ ἀδελφοῦ· καὶ πρὸς Νέστορα παραγίνεται Μενέλαος· Νέ-

στωρ δὲ ἐν παρεκβάσει διηγεῖται αὐτῷ, ὡς Ἐπωπεύς, φθείρας τὴν Λυκούργου θυγατέρα, ἐξεπορθήθη καὶ τὰ περὶ Οἰδίπουν καὶ τὴν Ἡρακλέους μανίαν καὶ τὰ περὶ Θησέα καὶ Ἀριάδνην. Ἔπειτα τοὺς ἡγεμόνας ἀθροίζουσιν, ἐπελθόντες τὴν Ἑλλάδα· καὶ μαίνεσθαι προσποιησάμενον τὸν Ὀδυσσέα ἐπὶ τῷ μὴ θέλειν συστρατεύεσθαι ἐφώρασαν, Παλαμήδους ὑποθεμένου, τὸν υἱὸν Τηλέμαχον ἐπὶ κόλασιν ἐξαρπάσαντες. Καὶ μετὰ ταῦτα συνελθόντες εἰς Αὐλίδα θύουσι, καὶ τὰ περὶ τὸν δράκοντα καὶ τοὺς στρουθοὺς γενόμενα δείκνυται, καὶ Κάλχας περὶ τῶν ἀποβησομένων προλέγει αὐτοῖς· ἔπειτα ἀναχθέντες Τευθρανίᾳ προσίσχουσι καὶ ταύτην ὡς Ἴλιον ἐπόρθουν. Τήλεφος δὲ ἐκ βοηθείας Θέρσανδρόν τε τὸν Πολυνείκους κτείνει καὶ αὐτὸς ὑπὸ Ἀχιλλέως τιτρώσκεται· ἀποπλέουσι δὲ αὐτοῖς ἐκ τῆς Μυσίας χειμὼν ἐπιπίπτει καὶ διασκεδάννυνται· Ἀχιλλεὺς δὲ Σκύρῳ προσχὼν γαμεῖ τὴν Λυκομήδους θυγατέρα Δηϊδάμειαν· ἔπειτα Τήλεφον κατὰ μαντείαν παραγενόμενον εἰς Ἄργος ἰᾶται Ἀχιλλεύς, ὡς ἡγεμόνα γενησόμενον τοῦ ἐπ' Ἴλιον πλοῦ. Καὶ τὸ δεύτερον ἠθροισμένου τοῦ στόλου ἐν Αὐλίδι Ἀγαμέμνων ἐπὶ θήρας βαλὼν ἔλαφον ὑπερβάλλειν ἔφησε καὶ τὴν Ἄρτεμιν· μηνίσασα δὲ ἡ θεὸς ἐπέσχεν αὐτοὺς τοῦ πλοῦ, χειμῶνας ἐπιπέμπουσα. Κάλχαντος δὲ εἰπόντος τὴν τῆς θεοῦ μῆνιν καὶ Ἰφιγένειάν κελεύσαντος θύειν τῇ Ἀρτέμιδι, ὡς ἐπὶ γάμον αὐτὴν Ἀχιλλεῖ μεταπεμψάμενοι θύειν ἐπιχειροῦσιν· Ἄρτεμις δὲ αὐτὴν ἐξαρπάσασα εἰς Ταύρους μετακομίζει καὶ ἀθάνατον ποιεῖ, ἔλαφον δὲ ἀντὶ τῆς κόρης παρίστησι τῷ βωμῷ. Ἔπειτα καταπλέουσιν εἰς Τένεδον· καὶ εὐωχουμένων αὐτῶν Φιλοκτήτης, ὑφ'

ὕδρου πληγείς, διὰ τὴν δυσοσμίαν ἐν Λήμνῳ κατελείφθη· καὶ Ἀχιλλεὺς ὕστερος κληθεὶς διαφέρεται πρὸς Ἀγαμέμνονα. Ἔπειτα ἀποβαίνοντας αὐτοὺς εἰς Ἴλιον εἴργουσιν οἱ Τρῶες καὶ θνήσκει Πρωτεσίλαος ὑφ' Ἕκτορος· ἔπειτα Ἀχιλλεὺς αὐτοὺς τρέπεται, ἀνελὼν Κύκνον τὸν Ποσειδῶνος· καὶ τοὺς νεκροὺς ἀναιροῦνται· καὶ διαπρεσβεύονται πρὸς τοὺς Τρῶας, τὴν Ἑλένην καὶ τὰ κτήματα ἀπαιτοῦντες· ὡς δὲ οὐχ ὑπήκουσαν ἐκεῖνοι, ἐνταῦθα δὴ τειχομαχοῦσιν. Ἔπειτα τὴν χώραν ἐπεξελθόντες πορθοῦσι καὶ τὰς περιοίκους πόλεις· καὶ μετὰ ταῦτα Ἀχιλλεὺς Ἑλένην ἐπιθυμεῖ θεάσασθαι, καὶ συνήγαγεν αὐτοὺς εἰς τὸ αὐτὸ Ἀφροδίτη καὶ Θέτις. Εἶτα ἀπονοστεῖν ὡρμημένους τοὺς Ἀχαιοὺς Ἀχιλλεὺς κατέχει· κἄπειτα ἀπελαύνει τὰς Αἰνείου βόας καὶ Λύρνησον καὶ Πήδασον πορθεῖ καὶ συχνὰς τῶν περιοικίδων πόλεων· καὶ Τρωΐλον φονεύει· Λυκάονά τε Πάτροκλος εἰς Λῆμνον ἄγων ἀπεμπολᾷ· καὶ ἐκ τῶν λαφύρων Ἀχιλλεὺς μὲν Βρισηΐδα γέρας λαμβάνει, Χρυσηΐδα δὲ Ἀγαμέμνων. Ἔπειτά ἐστι Παλαμήδους θάνατος· καὶ Διὸς βουλή, ὅπως ἐπικουφίσῃ τοὺς Τρῶας, Ἀχιλλέα τῆς συμμαχίας τῆς Ἑλληνικῆς ἀποστήσας· καὶ κατάλογος τῶν τοῖς Τρωσὶ συμμαχησάντων.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

πόλιν συνεισπεσὼν ὑπὸ Πάριδος ἀναιρεῖται καὶ Ἀπόλλωνος· καὶ περὶ τοῦ πτώματος γενομένης ἰσχυρᾶς μάχης Αἴας ἀνελόμενος ἐπὶ τὰς ναῦς κομίζει, Ὀδυσσέως ἀπομαχομένου τοῖς Τρωσίν. Ἔπειτα Ἀντίλοχόν τε θάπτουσι καὶ τὸν νεκρὸν τοῦ Ἀχιλλέως προτίθενται· καὶ Θέτις ἀφικομένη σὺν Μούσαις καὶ ταῖς ἀδελφαῖς θρηνεῖ τὸν παῖδα· καὶ μετὰ ταῦτα ἐκ τῆς πυρᾶς ἡ Θέτις ἀναρπάσασα τὸν παῖδα εἰς τὴν Λευκὴν νῆσον διακομίζει, οἱ δὲ Ἀχαιοὶ τὸν τάφον χώσαντες ἀγῶνα τιθέασι· καὶ περὶ τῶν Ἀχιλλέως ὅπλων Ὀδυσσεῖ καὶ Αἴαντι στάσις ἐμπίπτει.

Ἑξῆς δ' ἐστὶν Ἰλιάδος μικρᾶς βιβλία τέσσαρα Λέσχεω Μυτιληναίου, περιέχοντα τάδε· Ἡ τῶν σιν Ἀθηνᾶς λαμβάνει, Αἴας δὲ ἐμμανὴς γενόμενος τήν τε λείαν τῶν Ἀχαιῶν λυμαίνεται καὶ ἑαυτὸν ἀναιρεῖ. Μετὰ ταῦτα Ὀδυσσεὺς λοχήσας Ἕλενον λαμβάνει καί, χρήσαντος περὶ τῆς ἁλώσεως τούτου, Διομήδης ἐκ Λήμνου Φιλοκτήτην ἀνάγει. Ἰαθεὶς δὲ οὗτος ὑπὸ Μαχάονος καὶ μονομαχήσας Ἀλεξάνδρῳ, κτείνει καὶ τὸν νεκρὸν ὑπὸ Μενελάου κατακισθέντα ἀνελόμενοι θάπτουσιν οἱ Τρῶες. Μετὰ δὲ ταῦτα Δηΐφοβος Ἑλένην γαμεῖ· καὶ Νεοπτόλεμον Ὀδυσσεὺς ἐκ Σκύρου ἀγαγὼν τὰ ὅπλα δίδωσι τὰ τοῦ πατρός· καὶ Ἀχιλλεὺς αὐτῷ φαντάζεται. Εὐρύπυλος δὲ ὁ Τηλέφου ἐπίκουρος τοῖς Τρωσὶ παραγίνεται, καὶ ἀριστεύοντα αὐτὸν ἀποκτείνει Νεοπτόλεμος. Καὶ οἱ Τρῶες πολιορκοῦνται· καὶ Ἐπειὸς κατ' Ἀθηνᾶς προαίρεσιν τὸν Δούρειον Ἵππον κατασκευάξει. Ὀδυσσεὺς δὲ αἰκισάμενος ἑαυτὸν κατάσκοπος εἰς Ἴλιον παραγίνεται καὶ ἀναγνωρισθεὶς ὑφ' Ἑλένης περὶ τῆς ἁλώσεως τῆς πόλεως συντί-

θεται, κτείνας τέ τινας τῶν Τρώων ἐπὶ τὰς ναῦς ἀφικνεῖται· καὶ μετὰ ταῦτα σὺν Διομήδει τὸ Παλλάδιον ἐκκομίζει ἐκ τῆς Ἰλίου. Ἔπειτα εἰς τὸν Δούρειον Ἵππον τοὺς ἀρίστους ἐμβιβάσαντες τάς τε σκηνὰς καταφλέξαντες, οἱ λοιποὶ τῶν Ἑλλήνων εἰς Τένεδον ἀνάγονται· οἱ δὲ Τρῶες, τῶν κακῶν ὑπολαβόντες ἀπηλλάχθαι, τόν τε Δούρειον Ἵππον εἰς τὴν πόλιν εἰσδέχονται, διελόντες μέρος τι τοῦ τείχους, καὶ εὐωχοῦνται ὡς νενικηκότες τοὺς Ἕλληνας.

Ἕπεται δὲ τούτοις Ἰλίου Πέρσιδος βιβλία β΄ Ἀρκτίνου Μιλησίου περιέχοντα τάδε· Ὡς τὰ περὶ τὸν ἵππον οἱ Τρῶες ὑπόπτως ἔχοντες περιστάντες βουλεύονται ὅ τι χρὴ ποιεῖν καὶ τοῖς μὲν δοκεῖ κατακρημνίσαι αὐτόν, τοῖς δὲ καταφλέγειν, οἱ δὲ ἱερὸν αὐτὸν ἔφασαν δεῖν τῇ Ἀθηνᾷ ἀνατεθῆναι· καὶ τέλος νικᾷ ἡ τούτων γνώμη. Τραπέντες δὲ εἰς εὐφροσύνην εὐωχοῦνται, ὡς ἀπηλλαγμένοι τοῦ πολέμου. Ἐν αὐτῷ δὲ δύο δράκοντες ἐπιφανέντες τὸν Λαοκόωντα καὶ τὸν ἕτερον τῶν παίδων διαφθείρουσιν· ἐπὶ δὲ τῷ τέρατι δυσφορήσαντες οἱ περὶ τὸν Αἰνείαν ὑπεξῆλθον εἰς τὴν Ἴδην καὶ Σίνων τοὺς πυρσοὺς ἀνίσχει τοῖς Ἀχαιοῖς, πρότερον εἰσεληλυθὼς προσποίητος· οἱ δὲ ἐκ Τενέδου προσπλεύσαντες καὶ οἱ ἐκ Δουρείου Ἵππου ἐπιπίπτουσι τοῖς πολεμίοις καὶ πολλοὺς ἀνελόντες τὴν πόλιν κατὰ κράτος λαμβάνουσι. Καὶ Νεοπτόλεμος μὲν ἀποκτείνει Πρίαμον, ἐπὶ τὸν τοῦ Διὸς τοῦ Ἑρκείου βωμὸν καταφυγόντα· Μενέλαος δὲ ἀνευρὼν Ἑλένην ἐπὶ τὰς ναῦς κατάγει, Δηΐφοβον φονεύσας. Κασσάνδραν δὲ Αἴας Ὀϊλέως πρὸς βίαν ἀποσπῶν συνεφέλκεται τὸ τῆς Ἀθηνᾶς ξόανον, ἐφ' ᾧ παροξυνθέντες οἱ Ἕλληνες καταλεῦσαι βούλονται τὸν Αἴαντα·

ὁ δὲ ἐπὶ τὸν τῆς Ἀθηνᾶς βωμὸν καταφεύγει καὶ διασώζεται ἐκ τοῦ ἐπικειμένου κινδύνου.

Καὶ Ὀδυσσέως Ἀστυάναχτα ἀνελόντος Νεοπτόλεμος Ἀνδρομάχην γέρας λαμβάνει, καὶ τὰ λοιπὰ λάφυρα διανέμονται. Δημοφῶν τε καὶ Ἀκάμας Αἴθραν εὑρόντες ἄγουσι μεθ' ἑαυτῶν. Ἔπειτα ἐμπρήσαντες τὴν πόλιν Πολυξένην σφαγιάζουσιν ἐπὶ τὸν τοῦ Ἀχιλλέως τάφον.

Ἔπειτα ἀποπλέουσιν οἱ Ἕλληνες καὶ φθορὰν αὐτοῖς ἡ Ἀθηνᾶ κατὰ τὸ πέλαγος μηχανᾶται.

Συνάπτει δὲ τούτοις τὰ τῶν Νόστων βιβλία ε' Αὐγίου Τροιζηνίου, περιέχοντα τάδε· Ἀθηνᾶ Ἀγαμέμνονα καὶ Μενέλαον εἰς ἔριν καθίστησι περὶ τοῦ ἔκπλου. Ἀγαμέμνων μὲν οὖν τὸν τῆς Ἀθηνᾶς ἐξιλασόμενος χόλον ἐπιμένει, Διομήδης δὲ καὶ Νέστωρ ἀναχθέντες εἰς τὴν οἰκείαν διασώζονται. Μεθ' οὓς ἐκπλεύσας ὁ Μενέλαος μετὰ πέντε νεῶν εἰς Αἴγυπτον παραγίνεται, τῶν λοιπῶν διαφθαρεισῶν νεῶν ἐν τῷ πελάγει. Οἱ δὲ περὶ Κάλχαντα καὶ Λεοντέα καὶ Πολυποίτην πεζῇ πορευθέντες εἰς Κολοφῶνα Τειρεσίαν ἐνταῦθα τελευτήσαντα θάπτουσι. Τῶν δὲ περὶ τὸν Ἀγαμέμνονα ἀποπλεόντων, Ἀχιλλέως εἴδωλον ἐπιφανὲν πειρᾶται διακωλύειν, προλέγον τὰ συμβησόμενα. Εἶθ' ὁ περὶ τὰς Καφηρίδας πέτρας δηλοῦται χειμὼν καὶ ἡ Αἴαντος φθορὰ τοῦ Λοκροῦ. Νεοπτόλεμος δέ, Θέτιδος ὑποθεμένης, πεζῇ ποιεῖται τὴν πορείαν, καὶ παραγενόμενος εἰς Θρᾴκην Ὀδυσσέα καταλαμβάνει ἐν τῇ Μαρωνείᾳ, καὶ τὸ λοιπὸν ἀνύει τῆς ὁδοῦ καὶ τελευτήσαντα Φοίνικα θάπτει, αὐτὸς δὲ εἰς Μολοσσοὺς ἀφικόμενος ἀναγνωρίζεται Πηλεΐ. (ἔπει)τα Ἀγαμέμνονος ὑπὸ Αἰγίσθου καὶ Κλυταιμνήστρας ἀναιρεθέντος, ὑπ'

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



διὰ τὴν ἀρετὴν ὡς διὰ τὴν ἀκολουθίαν τῶν ἐν αὐτῷ πραγμάτων. Λέγει καὶ τὰ ὀνόματα καὶ τὰς πατρίδας τῶν πραγματευσαμένων τὸν ἐπικὸν κύκλον, λέγει δὲ καὶ περί τινων Κυπρίων ποιημάτων· καὶ ὡς οἱ μὲν ταῦτα εἰς Στασῖνον ἀναφέρουσι Κύπριον, οἱ δὲ Ἡγησίαν τὸν Σαλαμίνιον αὐτοῖς ἐπιγράφουσιν, οἱ δὲ Ὅμηρον, δοῦναι δὲ ὑπὲρ τῆς θυγατρὸς Στασίνῳ καὶ διὰ τὴν αὐτοῦ πατρίδα Κυπρία τὸν πόνον ἐπικληθῆναι· ἀλλ' οὐ τίθεται ὁ συγγραφεὺς τῇ αἰτίᾳ ταύτῃ· μηδὲ γὰρ Κύπρια προπαροξυτόνως ἐπιγράφεσθαι τὰ ποιήματα.

(Περὶ ἐλεγείας.)

Τὴν δὲ ἐλεγείαν συγκεῖσθαι μὲν ἐξ ἡρῴου καὶ πενταμέτρου στίχου· ἁρμόζειν δὲ τοῖς κατοιχομένοις· ὅθεν καὶ τοῦ ὀνόματος ἔτυχε. Τὸ γὰρ θρῆνος ἔλεγον ἐκάλουν οἱ παλαιοί· καὶ τοὺς τετελευτηκότας δι' αὐτοῦ εὐλόγουν. Οἱ μέντοι γε μεταγενέστεροι τῇ ἐλεγείᾳ πρὸς διαφόρους ὑποθέσεις ἀπεχρήσαντο. Λέγει δὲ καὶ ἀριστεῦσαι τῷ μέτρῳ (ἐλεγείῳ) Καλλῖνόν τε τὸν Ἐφέσιον καὶ Μίμνερμον τὸν Κολοφώνιον· ἀλλὰ καὶ τὸν Τηλέφου Φιλητᾶν τὸν Κῷον καὶ Καλλίμαχον τὸν Βάττου. Κυρηναῖος δὲ οὗτος ἦν.

(Περὶ ἰαμβικῆς ποιήσεως.)

Ἀλλὰ γὰρ καὶ τὸν ἴαμβον τάττεσθαι μὲν ἐπὶ λοιδορίας τὸ παλαιόν· καὶ γὰρ καὶ τὸ ἰαμβίζειν κατά τινα γλῶσσαν λοιδορεῖν ἔλεγον· οἱ δὲ ἀπό τινος Ἰάμβης θεραπαινίδος, Θρᾴττης τὸ γένος. Ταύτην φασί, τῆς Δήμητρος ἀνιωμένης ἐπὶ τῇ τῆς θυγατρὸς ἁρπαγῇ, προσελθεῖν (καὶ τὴν) περὶ τὸν Ἐλευσῖνα ἐπὶ τῇ νῦν Ἀγελάστῳ καλουμένῃ πέτρᾳ καθη-

μένην [καὶ] διὰ τινῶν χλευασμάτων εἰς γέλωτα προαγαγέσθαι τὴν θεόν. Ἔοικε δὲ ὁ ἴαμβος τὸ μὲν παλαιὸν ἐπὶ τῶν εἰς ψόγον καὶ ἔπαινον γραφομένων ὁμοίως λέγεσθαι· ἐπεὶ δέ τινες ἐπλεόνασαν ἐν ταῖς κακολογίαις τὸ μέτρον, ἐκεῖθεν τὸ ἰαμβίζειν εἰς τὸ ὑβρίζειν ὑπὸ τῆς συνηθείας ἐκπεσεῖν, ὥσπερ ἀπὸ τῶν κωμικῶν τὸ κωμῳδεῖσθαι. Ἰάμβων δὲ ποιηταὶ Ἀρχίλοχός τε ὁ Πάριος ἄριστος καὶ Σιμωνίδης ὁ Ἀμόργιος ἢ ὡς ἔνιοι Σάμιος, καὶ Ἱππώναξ ὁ Ἐφέσιος· ὧν ὁ μὲν πρῶτος ἐπὶ Γύγου, ὁ δὲ ἐπ' *Ἀνανίου τοῦ Μακεδόνος, ὁ δὲ Ἱππώναξ κατὰ Δαρεῖον ἤκμαξεν.

(Περὶ μελικῆς ποιήσεως.)

Περὶ δὲ μελικῆς ποιήσεώς φησιν ὡς πολυμερεστάτη τε καὶ διαφόρους ἔχει τομάς. Ἃ μὲν γὰρ αὐτῆς μεμέρισται θεοῖς, ἃ δὲ ἀνθρώποις, ἃ δὲ εἰς τὰς προσπιπτούσας περιστάσεις. Καὶ εἰς θεοὺς μὲν ἀναφέρεσθαι ὕμνον, προσόδιον, παιᾶνα, διθύραμβον, νόμον, ἀδωνίδια, ἰόβακχον, ὑπορχήματα. Εἰς δὲ ἀνθρώπους ἐγκώμια, ἐπινίκια, σκολιά, ἐρωτικά, ἐπιθαλάμια, ὑμεναίους, σίλλους, θρήνους, ἐπικήδεια· εἰς θεοὺς δὲ καὶ ἀνθρώπους παρθενεῖα, δαφνηφορικά, (τριποδηφορικά), ὀσχοφορικά, εὐκτικά· ταῦτα γὰρ εἰς θεοὺς γραφόμενα καὶ ἀνθρώπων περιείληφεν ἐπαινούς. Τὰ δὲ εἰς τὰς προσπιπτούσας περιστάσεις οὐκ ἔστι μὲν εἴδη τῆς μελικῆς, ὑπ' αὐτῶν δὲ τῶν ποιητῶν ἐπικεχείρηται. Τούτων δέ ἐστι πραγματικά, ἐμπορικά, ἀποστολικά, γνωμολογικά, γεωργικά, ἐπισταλτικά.

(Περὶ τῶν εἰς θεούς.)

Καί φησι τὸν ὕμνον μὲν ὠνομάσθαι ἀπὸ τοῦ

ὑπόμνησίν τινα εἶναι καὶ οἱονεὶ εἰς μνήμην τινὰ καὶ ὑπόμνησιν ἄγειν τὰς πράξεις τῶν ὑμνουμένων ἢ ἀπὸ τοῦ ὕδειν αὐτάς, ὅπερ ἐστὶ λέγειν. Ἐκάλουν δὲ καθόλου πάντα τὰ εἰς τοὺς ὑπηρέτας γραφόμενα ὕμνους· διὸ καὶ τὸ προσόδιον καὶ τὰ ἄλλα τὰ προειρημένα φαίνονται ἀντιδιαστέλλοντες τῷ ὕμνῳ, ὡς εἴδη πρὸς γένος· καὶ γάρ ἐστιν αὐτῶν ἀκούειν γραφόντων ὕμνος προσοδίου, ὕμνος ἐγκωμίου, ὕμνος παιᾶνος καὶ τὰ ὅμοια.

Ἐλέγετο δὲ τὸ προσόδιον, ἐπειδὰν προσίασι τοῖς βωμοῖς, ἢ ναοῖς καὶ ἐν τῷ προσιέναι ᾄδετο πρὸς αὐλόν· ὁ δὲ κυρίως ὕμνος πρὸς κιθάραν ᾄδετο ἑστώτων.

Ὁ δὲ παιάν ἐστιν εἶδος ᾠδῆς εἰς πάντας νῦν γραφόμενος θεούς· τὸ δὲ παλαιὸν ἰδίως ἀπενέμετο τῷ Ἀπόλλωνι καὶ τῇ Ἀρτέμιδι, ἐπὶ καταπαύσει λοιμῶν καὶ νόσων ᾀδόμενος· καταχρηστικῶς δὲ καὶ τὰ προσόδιά τινες παιᾶνας λέγουσιν.

Ὁ δὲ διθύραμβος γράφεται μὲν εἰς Διόνυσον, προσαγορεύεται δὲ ἐξ αὐτοῦ, ἤτοι διὰ τὸ κατὰ τὴν Νύσαν ἐπ' ἄντρῳ διθύρῳ τραφῆναι τὸν Διόνυσον, ἢ διὰ τὸ λυθέντων τῶν ῥαμμάτων τοῦ Διὸς εὑρεθῆναι αὐτόν, ἢ διότι δὶς δοκεῖ γενέσθαι, ἅπαξ μὲν ἐκ τῆς Σεμέλης, δεύτερον δὲ ἐκ τοῦ μηροῦ. Εὑρεθῆναι δὲ τὸν διθύραμβον Πίνδαρος ἐν Κορίνθῳ λέγει· τὸν δὲ ἀρξάμενον τῆς ᾠδῆς Ἀριστοτέλης Ἀρίονά φησιν εἶναι, ὃς πρῶτος τὸν κύκλιον ἤγαγε χορόν.

Ὁ μέντοι νόμος γράφεται μὲν εἰς Ἀπόλλωνα, ἔχει δὲ καὶ τὴν ἐπωνυμίαν ἀπ' αὐτοῦ· νόμιμος γὰρ ὁ Ἀπόλλων ἐπεκλήθη, ὅτι τῶν ἀρχαίων χορούς

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

τάξει καὶ συστήματι κατεσταλμένῳ περιέρχεται τὸν κρουσμόν.

Ἀδωνίδια δὲ λέγεται τὰ εἰς Ἄδωνιν ἀναφερόμενα.

Ἤιδετο δὲ ὁ ἰόβαχχος ἐν ἑορταῖς καὶ θυσίαις Διονύσου, βεβαπτισμένος πολλῷ φρυάγματι.

Ὑπόρχημα δὲ τὸ μετ' ὀρχήσεως ᾀδόμενον μέλος ἐλέγετο· καὶ γὰρ οἱ παλαιοὶ τὴν ὑπὸ ἀντὶ τῆς μετὰ πολλάκις ἐλάμβανον. Εὑρετὰς δὲ τούτων λέγουσιν οἱ μὲν Κουρῆτας, οἱ δὲ Πύρρον τὸν Ἀχιλλέως· ὅθεν καὶ Πυρρίχην εἶδός τι ὀρχήσεως λέγουσιν.

(Περὶ τῶν εἰς ἀνθρώπους.)

(Τὸ δὲ ἐγκώμιον . . . . . .)

Ὁ δὲ ἐπίνικος ὑπ' αὐτὸν τὸν καιρὸν τῆς νίκης τοῖς προτεροῦσιν ἐν τοῖς ἀγῶσιν ἐγράφετο.

Τὸ δὲ σκολιὸν μέλος ᾄδετο παρὰ τοὺς πότους· διὸ καὶ παροίνιον αὐτὸ ἐσθ' ὅτε καλοῦσιν· ἀνειμένον δέ ἐστι τῇ κατασκευῇ καὶ ἁπλούστατον μάλιστα. Σκολιὸν δὲ εἴρηται, οὐχ, ὡς ἐνίοις ἔδοξε, κατὰ ἀντίφρασιν· τὰ γὰρ κατὰ ἀντίφρασιν, ὡς ἐπίπαν, τοῦ εὐφημισμοῦ στοχάζεται, οὐκ εἰς κακοφημίαν μεταβάλλει τὸ εὔφημον: ἀλλὰ διὰ τὸ προκατειλημμένων ἤδη τῶν αἰσθητηρίων καὶ παρειμένων οἴνῳ τῶν ἀκροατῶν, τηνικαῦτα εἰσφέρεσθαι τὸ βάρβιτον εἰς τὰ συμπόσια καὶ διονυσιάζοντα ἕκαστον ἀκροσφαλῶς συγκόπτεσθαι περὶ τὴν προφορὰν τῆς ᾠδῆς. Ὅπερ οὖν ἔπασχον αὐτοὶ διὰ τὴν μέθην, τοῦτο τρέψαντες εἰς τὸ μέλος, σκολιὸν ἐκάλουν τὸ ἁπλούστατον.

Τὰ δὲ ἐρωτικὰ δῆλον ὅτι γυναικῶν καὶ παίδων καὶ παρθένων ἐρωτικὰς ᾄδει περιστάσεις.

Καὶ τὰ ἐπιθαλάμια δὲ τοῖς ἄρτι θαλαμευο-

μένοις ἅμα οἱ ἠἴθεοι καὶ αἱ παρθένοι ἐπὶ τῶν θαλάμων ᾖδον.

Ὑμέναιον δὲ ἐν γάμοις ᾄδεσθαί φησι, κατὰ πόθον καὶ ξήτησιν Ὑμεναίου τοῦ Τερψιχόρας, ὃν φασι γήμαντα ἀφανῆ γενέσθαι· οἱ δέ, κατὰ τιμὴν τοῦ Ἀττικοῦ Ὑμεναίου· τοῦτον γάρ φησί ποτε διώξαντα ἀφελέσθαι κούρας Ἀττικὰς λῃστῶν. Ἐγὼ δὲ οἶμαι βίου τινὰ εὐτυχοῦς προαναφώνησιν ὑπάρχειν καὶ συνεύχεσθαι τοῖς συνιοῦσι πρὸς γάμου κοινωνίαν μετὰ φιλοστοργίας, Αἰολικῇ παραπλέκοντας τὴν εὐχὴν διαλέκτῳ, οἷον ὑμεναίειν καὶ ὁμονοεῖν τούτους, ἀεὶ ὁμόσε ναίοντας.

Ὁ δὲ σίλλος λοιδορίας καὶ διασυρμοὺς πεφεισμένως ἀνθρώπων ἔχει.

(Τὸ δὲ ἐπικήδειον. . . . . .)

Διαφέρει δὲ τοῦ ἐπικηδείου ὁ θρῆνος, ὅτι τὸ μὲν ἐπικήδειον παρ' αὐτὸ τὸ κῆδος, ἔτι τοῦ σώματος προκειμένου, λέγεται, ὁ δὲ θρῆνος οὐ περιγράφεται χρόνῳ.

(Περὶ τῶν εἰς θεοὺς καὶ ἀνθρώπους.)

Τὰ δὲ λεγόμενα παρθένεια χοροῖς παρθένων ἐνεγράφετο· οἷς καὶ τὰ δαφνηφορικά, ὡς εἰς γένος, πίπτει· δάφνας γὰρ ἐν Βοιωτίᾳ δι' ἐνναετηρίδος εἰς τὰ τοῦ Ἀπόλλωνος κωμίζοντες οἱ ἱερεῖς ἐξύμνουν αὐτὸν διὰ χοροῦ παρθένων. Καὶ ἡ αἰτία· τῶν Αἰολέων ὅσοι κατῴκουν Ἄρνην καὶ τὰ ταύτῃ χωρία, κατὰ χρησμὸν ἀναστάντες ἐκεῖθεν καὶ προσκαθεζόμενοι Θήβας ἐπόρθουν προκατεχομένας ὑπὸ Πελασγῶν. Κοινῆς ἀμφοῖν ἑορτῆς Ἀπόλλωνος ἐνστάσης ἀνοχὰς ἔθεντο καὶ δάφνας τεμόντες, οἱ μὲν ἐξ Ἑλικῶνος, οἱ δὲ ἐγγὺς τοῦ Μέλανος ποταμοῦ,

ἐκόμιζον τῷ Ἀπόλλωνι. Πολεμάτας δέ, ὁ τῶν Βοιωτῶν ἀφηγούμενος, ἔδοξεν ὄναρ νεανίαν τινὰ πανοπλίαν αὐτῷ διδόναι καὶ εὐχὰς ποιεῖσθαι τῷ Ἀπόλλωνι δαφνηφοροῦντας διὰ ἐνναετηρίδος προστάτειν· μετὰ δὲ τρίτην ἡμέραν ἐπιθέμενος κρατεῖ τῶν πολεμίων, καὶ αὐτός τε τὴν δαφνηφορίαν ἐτέλει καὶ τὸ ἔθος ἐκεῖθεν διατηρεῖται. Ἡ δὲ δαφνηφορία· ξύλον ἐλαίας καταστέφουσι δάφναις καὶ ποικίλοις ἄνθεσι καὶ ἐπ' ἄκρου μὲν χαλκῇ ἐφαρμόζεται σφαῖρα, ἐκ δὲ ταύτης μικροτέρας ἐξαρτῶσι· κατὰ δὲ τὸ μέσον τοῦ ξύλου, περιθέντες ἐλάσσονα τῆς ἐπ' ἄκρου σφαίρας, καθάπτουσι πορφυρᾶ στέμματα· τὰ δὲ τελευταῖα τοῦ ξύλου περιστέλλουσι κροκωτῷ. Βούλεται δ' αὐτοῖς ἡ μὲν ἀνωτάτω σφαῖρα τὸν ἥλιον, ᾧ καὶ τὸν Ἀπόλλωνα ἀναφέρουσιν, ἡ δὲ ὑποκειμένη τὴν σελήνην· τὰ δὲ προσηρτημένα τῶν σφαιρίων ἄστρα τε καὶ ἀστέρας· τὰ δέ γε στέμματα τὸν ἐνιαύσιον δρόμον· καὶ γὰρ καὶ τξε΄ ποιοῦσιν αὐτά. Ἄρχει δὲ τῆς δαφνηφορίας παῖς ἀμφιθαλής· καὶ ὁ μάλιστα αὐτῷ οἰκεῖος βαστάξει τὸ κατεστεμμένον ξύλον, ὃ κωπὼ καλοῦσιν· αὐτὸς δὲ ὁ δαφνηφόρος ἑπόμενος τῆς δάφνης ἐφάπτεται, τὰς μὲν κόμας καθειμένος, χρυσοῦν δὲ στέφανον φέρων καὶ λαμπρὰν ἐσθῆτα ποδήρη ἐστολισμένος ἰφικρατίδας τε ὑποδεδεμένος· ᾧ χορὸς παρθένων ἐπακολουθεῖ, προτείνων κλῶνας πρὸς ἱκετηρίαν τῶν ὕμνων· παρέπεμπον δὲ τὴν δαφνηφορίαν εἰς Ἀπόλλωνος Ἰσμηνίου καὶ Γαλαξίου.

Τὸ δὲ τριποδηφορικὸν μέλος τρίποδος προηγουμένου παρὰ τοῖς Βοιωτοῖς ᾄδετο. Ἔσχε δὲ καὶ τοῦτο αἰτίαν τοιαύτην. Πελασγῶν τινὲς Πάνακτον τῆς Βοιωτίας ἐπόρθουν· Θηβαῖοι δὲ ἤμυνον καὶ

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



καὶ τούτων ὁ πρότερος ἐγεύετο ἐκ τῆς πενταπλῆς λεγομένης φιάλης, ἣ συνεκιρνᾶτο ἐλαίῳ καὶ οἴνῳ καὶ μέλιτι καὶ τυρῷ καὶ ἀλφίτοις.

Εὐκτικὰ δὲ μέλη ἐγράφετο τοῖς αἰτουμένοις τι παρὰ θεοῦ γενέσθαι.

(*Εἰς τὰς προσπιπτούσας περιστάσεις.*)

Πραγματικὰ δέ, ἃ τινῶν περιεῖχε πράξεις.

Ἐμπορικὰ δέ, ὅσα κατὰ τὰς ἀποδημίας καὶ ἐμπορείας ἐπιδεικνύμενά τισιν ἐγράφη.

Ἀποστολικὰ δέ, ὅσα διαπεμπόμενοι πρός τινας ἐποίουν.

Τὰ δὲ γνωμολογικὰ δῆλον ὅτι παραίνεσιν ἠθῶν ἔχει.

Καὶ τὰ γεωργικὰ δέ, χώρας καὶ φυτῶν καιρούς καὶ ἐπιμελείας.

Καὶ τὰ ἐπισταλτικὰ δέ, ὅσα κατ' ἐντολὰς πρός τινας ποιοῦντες διέπεμπον.

Οἱ μὲν (πρῶτοι) δύο λόγοι τῆς Πρόκλου γραμματικῆς χρηστομαθίας ἐν τούτοις.

TRICHAE

DE NOVEM METRIS

LIBELLI.

Trichae de novem metris libellos quorum alteri alterum in infimis paginis submisimus, Franciscus de Furia in appendice ad Draconem Hermanni sic edidit, ut unius codicis Veneti lectionem immutatam exprimeret, per prooemium quo carmen in S. Virginem continetur, discrepantem Laurentiani libri lectionem subiiciens. Nuper librariorum menda maximam partem Augustus Jung eo quem de Trichae metrici vita et scriptis composuit libello egregia arte sustulit.

Lectionum varietas libb. Veneti et Laurentiani: p. 253, l. 5 *ἀγνῇ* 6 *κόρη* 10 *θεία ῥάνδε* L 14 *φυλά* L 16 *Ἐξ ὑλίος* L 16 *ἀμφιβάσασ'* 16 *εἰς* om. L 22 *Ἴσον μή τε* L 24 *Ὃ δ' ἔην* 27 *κεράσοντα* L 27 *φύσα* V 28 *βροτόσωμον φανέντα* 31 *ἰθύνουσ'* 33 *Ηυύς γὰρ* L ‖ 254, 2 *κατ' ἄντην* V, *κατὰ ταύτην* L 4 *Σοι οδ'* V, *Σοῖο δ'* L 4 *ζωά μεν* V 5 *ἠρεμόωντα τρεμέη* V, *ἠνεμ.* L 6 *καθ' ὑπνεῦντα* V, *καθ' ὑπνεύοντα* L 6 *με διαφερόντως* L 9. 10 *Ἠπιόωσα προσπώλω εὐδιόωσα ποντον* V, *Ποιϊόωσα ...* L 12 *εἰναβάτω* 13 *παραμαρτεοῦ* L, *παρ' ὁμάρτα* V 13 *ἐπίκουρον* L 14 *Ἐἰ ὄρφναις* L 14 *φανείοισα* L 16 *κνέφεος* L 16 *ὀργάν* V 20 *πόκα* 20 *ἐφ' ἅμμιν* 22 *νη πεδίου* V, *νηπεδίου* L 24 *Ἐνάγοις ἐς* V, *Ἐνάγοις ἐν* L 24 *μυρίοις γ' ἂν* V, *μυρίοις κ' ἂν* L 26 *Ἐράον τι* L, *Ὀράον τι* 30 *ἀπερείσσιον* V, *ἀπειρέσιον* L 30 *ἀπαχθέα* L 32 *βαλοῖσ'* V, *βασιλοῖς* L 34 *Ἵνα σοι* L 34 *ῥύσι' ἄσοιμι συνθεὶς* V, *ῥύσιά σοι μι σωθεὶς* L 36 *Ἐραγνὰν* L

Lectionum varietas lib. Veneti: p. 255, l. 22 *ὡς*] *ὅτι* suprascr. ‖ 261, 15 *ἐὰν*] *εἰ* ‖ 262, 9 *ταπολλὰ* ‖ 26 *χώρας ὅλως ἐλέγομεν, διὰ τὸ ἀπὸ βραχείας ἄρχεσθαι· καὶ πᾶς τοῦτο* ‖ 263, 7 *πλεονάζον* ‖ 264, 18 *βραχυκατάληκτα* 20 *ἃ χώροις* ‖ 265, 19 *ἐνδόμην* 20 *τροχαῖον ἢ σπονδεῖον* ‖ 267, 13 *εἰς δισύλλαβον* 24 *παμμεδέοντος* 27 *συνέμπεσε* ‖ 268, 1 *καταληκτικὰ* 6 *αἳ τοῖς πέντε* 14 *αἵ εἰσιν* ‖ 269, 17 *Κάστηρα* ‖ 270, 21 *ὁμοίως τροχαῖον* 23 *χρήσασθαι. ὁ δὲ πῶς ἐπὶ* ‖ 271, 9 *εἰς τὸ ἢ ἰαμβικὰ* 29 *ὁδ' ἐὴν* 27 *αὐτοῦ* ‖ 272, 5 *δανεισάμενον* ‖ 273, 8 *ἰδίαις* 9 *λέγων* 26 *ἐπιτηδευσάμεθά* ‖ 274, 8 *Οὐ μὲν* ‖ 276, 18 *δυναμένων* 20 *ἀνὰ τριῶν* ‖ 277, 15 *δὲ ὅτι* 19 *πυῤῥυαχικὸν* 20 *ἀποθήσεις* ‖ 279, 9 *ἡ τῶν* 15 *φαίνομαι* ‖ 280, 18 *ἅτε δὲ* ‖ 281, 7 *εἴπομεν* 14 *μετρικῆς* 21 *ποῦς* ‖ 282, 6 *Ὑποθέσεις* 8 *καταληκτικὸν* 19 *συνεμπίπτει* 21 *τὸν τροχαϊκὸν ὀνομαζ.* 29 *ἀποθήσεις* ‖ 283, 12. 17 *ἠρεμόων τ'* ‖ 284, 5 *Φύλικος, ὃς* ‖ 285, 8 *δὲ πᾶς* 22 *ὅτε καὶ* 24 *οἳ μήτε* ‖ 286, 15 *τε δὲ* ‖ 287, 5 *τούτου* 12 *συμμίκτων ἀναπαίστων* ‖ 288, 5 *ποιητοῦ Φάλαικος* ‖ 289, 19 *ἀρκεῖτο* ‖ 292, 22 *διηλήφαμεν* ‖ 293, 27 *διποδίαν ἢ* 30 *Αἰολικὴ* ‖ 294, 5 *σπονδεῖον* 25 *μονοποδίαν* ‖ 295, 10 *μονοποδίᾳ* 17 *ὁμοίως τὸ* 30 *γυναῖκες* ‖ 296, 6 *μονοποδίᾳ* ‖ 297, 21 *τοῦτο* ‖ 298, 1 *ἱεροῖς* 14 *εὕρεταί* ‖ 299, 3 *τῶν ἐκ* 15 *ὡς πρῶτον, παιωνικὸν ὠνομάσθη* 20 *ἐκ βραχειῶν* ‖ 300, 24 *ῥύσι' ἴασαι μι* ‖ 302, 7 *βρόχον* 10 *βρόχου* 21 *μονώτατόν*

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏒ λογαοιδικόν.
Μόρον οὐ νοέοντες ἐφιστάμενον κατάντην,
ε΄. – ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏒ χοριαμβικόν.
Σεῖο δ' ἄνευ μηδὲ πνοᾶς μέτρον ἔχει ξωά μευ·
Ἀλλά γε καὶ ἠρεμόωντ' ἀτρεμέως βιοτᾷ
Καί τε καθυπνεῦντά με διαμπερέως φρουρέοις,
– ⏑ ⏑ – ⏑ – ⏑ – μικτόν.
Ἠπιόωσα προσβολὰς
Εὐδιόωσα πόντου,
ς΄. ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – – ἀντισπαστικόν.
Ὁδῷ δ' εἰν ἀβάτῳ καὶ παρ' ἐρήμαισιν ἀρούραις
Πολεῦντος, πότνιά, μευ παρομάρτευ ἐπίκουρος,
Ἐν ὄρφναις μὲν ἀφεγγέσ(σ)ι φαείνοισα κελεύθους, 3
– ⏑ – – ⏑ ⏑ – ⏑ – ⏑ – – μικτόν.
Λύοισα δνοφερὰν κνέφαος ὁρμάν.
ζ΄. – – ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – – ⏒ ἰωνικὸν ἀπὸ μείζονος.
Ἐν δ' ἀμερίῳ φωτὶ φλέγοισα ξέσιν ἠλίου
Καὶ λάβρον ἐρύκοισα νεφῶν ὀμβροφόρων ῥοῖζον,
Χὡς παῖς ποκά, πότν[ι]α, σός, ἐπ' ἄμμιν τερατουργεῦσα,
η΄. ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – – ⏑ ⏑ – ἰωνικὸν ἀπ' ἐλάσσονος.
Ἀπάγοισ' ἐκ κακότητος μογεροῦ νῦν πεδίου,
Διάγοισ' ἀβλαβέα παντοδαπῶν ἐξ ὀλέθρων,
Ἐνάγοισ' ἐς θαλέθοισαν μυρίοις γᾶν ἀγαθοῖς·
⏑ ⏑ – ⏑ – ⏑ – – μικτόν.
Ἐράοντί μοι ποτῆτος
Στερεῆς ἄρ' ἀπὸ πέτρης
Πόμ' ἀκήρατον διδοῖσα·
θ΄. – ⏑ ⏑ ⏑ – ⏑ ⏑ ⏑ – ⏑ ⏑ ⏑ – ⏑ ⏒ παιωνικόν.
Στρατὸν ἀπερείσιον ἀεσσίφρον' ἀπεχθέα
Αἰὲν ὀλοόφρονα πονηρότατον αἰόλον,
Τάρταρον ἐς εὐρέα βάλοις ἐμεῦ ἀπωτάτω·
– ⏑ – – ⏑ – – ⏑ – – ⏑ – – ⏑ – – κρητικόν.
Ἵνα τοι ῥύσι' ἄσαιμι σωθεὶς βρόχων ἀντιπάλων,
⏑ – – ⏑ – – ⏑ – – ⏑ – βακχειακόν.
Ἐρανὰν πονησάμενος κούρα λύραν.

ΕΠΙΜΕΡΙΣΜΟΙ
ΤΩΝ ΕΝΝΕΑ ΜΕΤΡΩΝ.

Περὶ ἰαμβικοῦ.

Τεσσάρων ὄντων τῶν δισυλλάβων ποδῶν, πυρριχίου ἰάμβου τροχαίου καὶ σπονδείου, δύο μόνοι τούτων μέτρον ἀποτελοῦσιν, ἴαμβος καὶ τροχαῖος· ὁ μὲν ἴαμβος τὸ ἰαμβικόν, ὁ δὲ τροχαῖος τὸ καλούμενον τροχαϊκὸν μέτρον. Πυρριχιακὸν δὲ ἢ σπονδειακὸν μέτρον οὐχ εὕρηται. Προτέτακται μέντοι τῶν ἄλλων τὸ μέτρον τὸ ἰαμβικόν, οὐχ ὅτι τῶν λοιπῶν τιμιώτερον, οὐδ' ὅτι πρότερον, ὡς ἔνιοί φασιν, εὕρηται, ἀλλ' ὅτι πάντων ἐλαχιστότερον. Καὶ γὰρ ἐκ δισυλλάβων σύγκειται ποδῶν ὡς ἐπὶ τὸ πολὺ τὸ ἰαμβικόν· τὰ δ' ἄλλα ἐκ τρισυλλάβων οἷον τό τε δακτυλικὸν καὶ τὸ ἀναπαιστικόν· ἢ καὶ τετρασυλλάβων ὡς τὰ ἰωνικά· περὶ ὧν προϊόντες ἐροῦμεν. Ἐπεὶ οὖν ἀπὸ τῶν ἐλαχιστοτέρων καὶ βραχυτέρων ἔθος ἐστὶ προβαίνειν, διὰ τοῦτο τὸ ἰαμβικὸν μέτρον τῶν ἄλλων προτέτακται. Εἰ δέ τις ἡμῶν ἀποροίη, ὅτι καὶ τὸ τροχαϊκὸν ἴσον αὐτῷ ἐστι καὶ κατὰ τὰς συλλαβάς, [καὶ] ἄμφω γὰρ δισύλλαβα, καὶ κατὰ τοὺς χρόνους, ὅτι καὶ ἀμφότερα τρίχρονα· ἐροῦμεν, ὡς κατ' ἀρχὰς βραχύτερος ὢν πάλιν ὁ ἴαμβος τοῦ τροχαίου προτέτακται. Ἀπὸ δὲ τούτου καὶ τὸ ἰαμβικὸν τοῦ τροχαϊκοῦ· ὁ μὲν γὰρ ἴαμβος

ἀπὸ βραχείας ἄρχεται οἷον ἔρως, ὁ δ' ἀπὸ μακρᾶς ὁ τροχαῖος οἷον δοῦλος.

Δέχεται δὲ τὸ ἰαμβικὸν μέτρον κατὰ μὲν τὴν τῶν παλαιῶν ἄδειαν καὶ συνήθειαν, ἐν μὲν ταῖς περιττᾶῖς χώραις, τουτέστι τῇ ᾱ καὶ γ̄ καὶ ε̄ τοὺς πέντε τούτους πόδας, ⏑ – ἴαμβον, ⏑ ⏑ ⏑ χορεῖον, – – σπονδεῖον, – ⏑ ⏑ δάκτυλον, ⏑ ⏑ – ἀνάπαιστον. Ἔστι δὲ ἴαμβος μέν, ὡς ἔφαμεν, ὁ ἐκ βραχείας καὶ μακρᾶς συγκείμενος οἷον ἔχω. Ὃς εἴτε ἀπὸ Ἰάμβης γραὸς οὕτως ὠνομάσθη, ἐξ ἧς καὶ τὸ μέτρον εὑρεθῆναί φασιν, ἅτε δὴ πρώτως αὐτῷ χρησαμένης αὐτομάτως, εἴτε παρὰ τὸ ἰὸν βάξειν, εἴτε ἀπὸ τοῦ Ἰάμβην τινὰ κόρην λοιδορηθεῖσαν τούτῳ τῷ μέτρῳ καταλῦσαι τὸν βίον, εἴτε ἀλλοθενοῦν, οὕτως ἐχέτω καὶ ὀνομαζέσθω. Ὁ μὲν οὖν ἴαμβος, ὅπερ ἔλεγον, ἐκ βραχείας συντέθειται καὶ μακρᾶς, ὁ δὲ χορεῖος ἐκ τριῶν βραχειῶν, οἷον λάβετε, φέρετε. Χορεῖος δὲ ὠνόμασται, ὅτι πρὸς τὰ ἐν τοῖς χοροῖς μέτρα πολλάκις παραλαμβάνεται τοῖς τε τραγικοῖς καὶ τοῖς ἰαμβικοῖς. Ὁ δὲ σπονδεῖος ἐκ δύο μακρῶν οἷον ἥρως. Λέγεται δὲ οὕτως διὰ τὸ ἐν ταῖς ἱερουργίαις μάλιστα καὶ σπονδαῖς τοῖς παλαιοῖς παρειλῆφθαι. Ὁ δάκτυλος δὲ ἐκ μακροῦ καὶ δύο βραχειῶν οἷον σύλλογε, λάμβανε. Ὃν οἱ μὲν ἀπὸ τῆς ἐν ταῖς χορδαῖς γινομένης τῶν δακτύλων κινήσεως οὕτως ὀνομασθῆναί φασιν, οἱ δὲ ἀπὸ μεταφορᾶς τῶν ἡμετέρων δακτύλων, οἳ τὸ μὲν πρῶτον ἀπὸ τοῦ καρποῦ ὀστοῦν ἐκτεταμενώτερον καὶ μακρότερον ἔχουσι, τὰ δὲ ἐφεξῆς δύο βραχύτερα καὶ συνεσταλμενώτερα. Ὁ δὲ ἀνάπαιστος, ὃν τινες καὶ ἀντιδάκτυλον καλοῦσι διὰ τὸ ἐναντίως ἔχειν τῷ δακτύλῳ, ἐκ δύο βραχειῶν καὶ μακρᾶς σύγκειται οἷον λεγεών.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



ὡς ἐλέγομεν τοῦτό ἐστι τὸ ἀκατάληκτον τρίμετρον· ὃ καὶ νῦν διὰ τὸ σύνηθες καὶ ἐπισημότατον εἶναι παραδείγματος χάριν ἐκτέθειται. Ὑφίσταται δὲ ἐκ τούτου τοῦ μέτρου κατὰ ὑφαίρεσιν καὶ πρόσθεσιν μονόμετρα καὶ δίμετρα καὶ τρίμετρα καὶ τετράμετρα καὶ πεντάμετρα· προσέτι καταληκτ(ικ)ά τε καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα καὶ ὑπερκατάληκτα. Καὶ σκόπει μοι τὸ λεγόμενον, ὡς ἐκ τῶν παραδειγμάτων σαφέστατον γένηται.

Μονόμετρον μὲν οὖν ἐστὶν ἰαμβικὸν βραχυκατάληκτον, τὸ ἐξ ἑνὸς μόνου ποδὸς ἁπλοῦ συγκείμενον οἷον τὸ

φεῦ φεῦ.

ἢ εἰ δεῖ καὶ ταῦτα ἐκ τῶν προκειμένων λαμβάνειν οἷον τὸ

κόρη.

Βραχυκατάληκτον δὲ καλεῖται διότι λείπεται ὁλοκλήρῳ ποδὶ πρὸς τὸ ἀκατάληκτον μονόμετρον ἀπαρτίσαι. Ὅσα γὰρ κατὰ διποδίαν μετρούμενα τέλειον ἁπλοῦν ἕνα λείπεται πόδα, βραχυκατάληκτα γίνεται. Μονόμετρον δὲ καταληκτικὸν τὸ ἐξ ἑνὸς ἡμίσεος ἁπλοῦ ποδὸς συγκείμενον οἷον τὸ

ἄνανδρε.

εἰς συλλαβὴν γὰρ ἐνταῦθα τῆς δευτέρας χώρας τὸ μονόμετρον καταλήγει, ἤτοι πόδα ἔχει ἁπλοῦν καὶ συλλαβήν. Τὰ δὲ μιᾷ συλλαβῇ λειπόμενα πρὸς τὸ διποδίαν ὁλόκληρον ἀποτελέσαι καταληκτικὰ καλεῖται. Μονόμετρον δέ ἐστιν ἀκατάληκτον τὸ ἐκ δυοῖν ἁπλῶν συντεθειμένον ποδῶν· κατὰ γὰρ διποδίαν ὡς ἔφαμεν τὸ ἰαμβικὸν βαίνεται μέτρον, ὡς Ἡφαιστίων φησίν. Ὅσα δὲ τέλειον τὸν τελευταῖον

ἔχουσι πόδα καὶ μήτε περιττεύοντα μήτε λειπόμενον οἷον τὸ

μῖξις κόρη,

ἀκατάληκτά εἰσιν ἁπλῶς. Ὑπερκατάληκτον δὲ μονόμετρον, τὸ τὸν τέλειον καὶ μηδέν τι λειπόμενον πόδα ὑπερβαῖνον μιᾷ συλλαβῇ οἷον τὸ

ἢ τῶν ἀμίκτων.

Μονόμετρα μὲν οὖν ταῦτα.

Δίμετρον δέ, βραχυκατάληκτον μὲν πάλιν, οἷον τὸ

τεκοῦσα παρθένος·

ὅλῳ γὰρ ποδὶ μεμείωται ἐπὶ τέλους πρὸς τὸ δίμετρον ἀκατάληκτον ἀπαρτίσαι. Καταληκτικὸν δέ, ὡς τὸ 8

ἄνανδρε μῆτερ βάτε·

μιᾷ γὰρ συλλαβῇ λείπεται εἰς τὸ διποδίαν ὁλόκληρον ἀποτελέσαι. Ἰστέον δέ, ὅτι τοῦτο τὸ καταληκτικὸν δίμετρον καὶ ἡμίαμβον παρ' ἡμῖν ὀνομάζεται· ἐπίσημον δέ ἐστι καὶ τοῖς παλαιοῖς Ἀνακρεόντ(ε)ιον λεγόμενον, ὡς πολὺ αὐτῷ κεχρημένου τοῦ Ἀνακρέοντος. Ἀκατάληκτον δέ, ὡς τὸ

(ἢ τῶν) ἀμίκτων ἐντόκῳ·

ὁλοκλήρους γὰρ ἔχει τὰς β′ διποδίας καὶ οὐδαμῶς καταλήγει. Καὶ τοῦτο δὲ ἐπισημειοῦνται οἱ παλαιοὶ καὶ Ἀνακρεόντε(ι)ον ὀνομάζουσιν. Ὑπερκατάληκτον δὲ τοῦτο

ἢ μὴ φθαρεῖσα καὶ τεκοῦσα·

πρὸς γὰρ ταῖς δυσὶ διποδίαις πλεονάζει μιᾷ συλλαβῇ. Καὶ δίμετρα μὲν ταῦτα.

Τρίμετρα δὲ βραχυκατάληκτον μὲν τόδε

ἢ τῶν ἀμίκτων ἐντόκῳ μῖξις·

ὁλοκλήρῳ γὰρ λείπεται ποδὶ πρὸς τὸ τὴν τριμετρίαν ἀναπληρῶσαι. Καταληκτικὸν δέ, ὡς τὸ

ἄνανδρε μῆτερ βάτε λαβὶς θεία·

μιᾷ γὰρ συλλαβῇ λείπεται πρὸς τὸ τρίμετρον ἐκτελέσαι. Τρίμετρον ἀκατάληκτον ἕκαστον τῶν προκειμένων τεττάρων ἰαμβείων ἐστί. Καὶ ἡμεῖς μὲν περαιτέρως τοῦ ἀκαταλήκτου τριμέτρου οὐ προβαίνομεν. Εἰσὶ δὲ καὶ τρίμετρα ὑπερκατάληκτα, ἃ μιᾷ συλλαβῇ τῶν ἐκκειμένων περιττεύουσι.

Καὶ ἔτι τετράμετρα βραχυκατάληκτά τε καὶ καταληκτικὰ καὶ ἀκατάληκτα καὶ ὑπερκατάληκτα, ὡς οἱ παλαιοί φασι μετρικοί. Καὶ εὕροις ἂν χρωμένους τούτοις τούς τε κωμικοὺς καὶ τοὺς τραγικούς.

Τοῖς μέντοι πενταμέτροις καὶ οἱ παλαιοὶ αὐτοὶ σπανιώτερον κέχρηνται. Ταύτῃ τοι καὶ περιττόν μοι δοκεῖ περὶ τούτων τι λέγειν, ἄλλως τε κἀκ τῶν ἤδη ῥηθέντων καὶ αὐτῶν δηλωθέντων.

Ἔστι δέ τι καὶ τὸ χωλὸν καλούμενον ἰαμβικόν· ὃ τρίμετρόν ἐστι καὶ αὐτό, διαφέρει δὲ τοῦ παρ' ἡμῖν ὀρθοτάτου, παρ' ὅσον τὸ μὲν ὀρθὸν τὴν τελευταίαν βάσιν ἰάμβῳ ἢ πυρριχίῳ, ὡς εἴπομεν, ἀπαρτίζει, τὸ δὲ χωλὸν τροχαίῳ ἢ σπονδείῳ. Ὅ τινες μὲν Ἀνανίου φασὶν εὕρημα, τινὲς δὲ Ἱππώνακτος. Τῇ γὰρ ἄνωθεν ῥηθείσῃ ἐντυχών, φασί, γραΐ, ἥτις Ἰάμβη ἐκαλεῖτο, ἔρια ἐν τῇ θαλάσσῃ πλυνούσῃ τῇ σκάφῃ καὶ πλησιάσας ἤκουσε παρ' αὐτῆς

ἄνθρωπ' ἄπελθε, τὴν σκάφην ἀνατρέψεις·

τὸν δὲ ἀκούσαντα τοῦτο ἐκ τούτου τὸν χωλὸν ἐπιτηδεύσασθαι ἴαμβον. Παράδειγμα τοῦ μὲν τροχαίῳ ἀπαρτίζοντος τὴν ἕκτην χώραν χωλοῦ ὁ ἀνώτερον

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

ὡς τὸ λευκὸν τῇ τοῦ μέλανος καὶ ἀνάπαλιν. Ὠνόμασται δὲ οὕτω τροχαῖος ὁ ἐκ μακρᾶς καὶ βραχείας συλλαβῆς συγκείμενος πούς, ὅτι ταχεῖαν καὶ οἷον διατρέχουσαν ἐν τῇ κατασκευῇ τὴν ῥυθμοποιίαν ἔχει, διὰ τὸ ἐπιτρέχειν οἱονεὶ τῇ μακρᾷ ἀεὶ τὴν βραχεῖαν. Ὁ αὐτὸς δ' οὗτος καὶ χορεῖος καλεῖται, ὅτι τὰ ἐν τοῖς χοροῖς μέλη τῶν παλαιῶν δραματοποιῶν ἐκ τροχαϊκῶν ὡς τὰ πολλὰ μέτρων συντέθειται. Δέχεται δὲ τὸ τροχαϊκὸν μέτρον ἐν μὲν ταῖς ἀρτίαις χώραις τουτέστι δευτέρᾳ τετάρτῃ ἕκτῃ καὶ ὀγδόῃ, ὅτε ἀκατάληκτον τετράμετρον εὑρίσκεται, τοὺς πέντε τούτους πόδας, _ ⏑ τροχαῖον, ⏑ ⏑ ⏑ τρίβραχυν, τὸν καὶ χορεῖον, _ _ σπονδεῖον, _ ⏑ ⏑ δάκτυλον, ⏑ ⏑ _ ἀνάπαιστον· οἳ διά τί τε οὕτως καλοῦνται καὶ ἐκ πόσων καὶ ποίων σύγκεινται, εἴρηται.

Ἐν μὲν οὖν ταῖς ἀρτίαις τοὺς πόδας δέχεται τούτους· ἐν δὲ ταῖς περιτταῖς, _ ⏑ τροχαῖον, ⏑ ⏑ ⏑ τρίβραχυν ἤτοι χορεῖον, [⏑ _ ἴαμβον] σπανιώτερον δὲ καὶ δάκτυλον. Καὶ σκόπει μοι, ὅπως καὶ κατὰ τοῦτο ἀντιπαθές ἐστι τὸ τροχαϊκὸν μέτρον τῷ ἰαμβικῷ. Ἐκεῖ μὲν γὰρ ἐν τῇ $\overline{\alpha}$ καὶ $\overline{\gamma}$ καὶ $\overline{\varepsilon}$ χώρᾳ καὶ ἁπλῶς ἐν ταῖς περιτταῖς ἔφαμεν τίθεσθαι τὸν σπονδεῖον καὶ τὸν δάκτυλον καὶ τὸν ἀνάπαιστον· 11 ἐνταῦθα δὲ ἐν τῷ τροχαϊκῷ μέτρῳ τοὐναντίον ἅπαν ἐν ταῖς ἀρτίαις χώραις. (Καὶ) ὅπως (ἐκεῖ ἐν ταῖς ἀρτίαις παραλαμβάνεσθαι τὸν ἀνάπαιστον) ἐλέγομεν, διὰ τὸ ἀπὸ βραχείας ἄρχεσθαι καὶ κατὰ τοῦτο κοινωνεῖν τῷ ἰάμβῳ, οὕτως ἐνταῦθα τὸν δάκτυλον ἐν ταῖς περιτταῖς, ὡς ἀπὸ μακρᾶς ἀρχόμενον καὶ τέως κατὰ τοῦτο οἰκειούμενον τῷ τροχαίῳ. Πλὴν ὥσπερ ἐκεῖ τοὺς ἄλλους μὲν πόδας παρὰ τοῖς νεωτέροις ἔφαμεν παρεᾶσθαι, μόνον δὲ τὸν ἴαμβον ἐν ταῖς ἀρτίαις,

καὶ τὸν σπονδεῖον ἢ τὸν ἴαμβον ἐν ταῖς περιττᾶις χώραις παραλαμβάνεσθαι, ἐν δὲ τῇ τελευταίᾳ καὶ τὸν πυρρίχιον, οὕτω κἀνταῦθα ἐν μὲν ταῖς περιττᾶις τὸν τροχαῖον μόνον, ἐν δὲ ταῖς ἀρτίαις τὸν τροχαῖον ἢ τὸν σπονδεῖον δεχόμεθα. Τοιαῦτα καὶ τὰ προκείμενα μέτρα. Καθόλου γὰρ τὸ ἐν ἑκάστῳ μέτρῳ τοῖς ὁμωνύμοις πλεονάζειν ποσὶν ἐπαινετόν, οἷον ἐν ἰαμβικῷ μέτρῳ ἰάμβοις, ἐν δὲ τῷ τροχαϊκῷ τροχαίοις, καὶ ἐν δακτυλικῷ δακτύλοις, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Τὸ δὲ καὶ διόλου τοῖς ὁμωνύμοις μόνοις χρῆσθαι πολλῷ ἀξιεπαινετώτερον· καθαρὸν γὰρ τότε τὸ μέτρον λέγεται. Εἰσὶ δὲ τὰ προκείμενα μέτρα τροχαϊκὰ τετράμετρα καταληκτικά. Βαίνονται γὰρ καὶ ταῦτα κατὰ διποδίαν, διὰ τὸ ἐκ δισυλλάβων ὡς τὰ πολλὰ συγκεῖσθαι ποδῶν. Ὥσπερ δὲ ἐν τοῖς ἰαμβικοῖς ἐπισημότατον καὶ περιφανέστατόν ἐστι τὸ ἀκατάληκτον τρίμετρον, οὕτως ἐν τοῖς τροχαϊκοῖς τὸ καταληκτικὸν τετράμετρον. Κέχρηται γὰρ αὐτῷ καὶ Εὐριπίδης ἔν τε πολλοῖς τῶν αὐτοῦ δραμάτων καὶ ἔτι καθαρώτερον ἐν Ὀρέστῃ. Ἐπιτηδεύει τοῦτο πολλαχοῦ καὶ Σοφοκλῆς καὶ Ἀριστοφάνης καὶ διάφοροι ἕτεροι. Διὰ γοῦν τοῦτο ἐπισημότατον εἶναι καὶ νῦν ἡμῖν χάριν παραδείγματος εἴληπται. Εἰσὶ δὲ καὶ ἐν τούτῳ τῷ μέτρῳ μονόμετρά τε καὶ δίμετρα καὶ τρίμετρα καὶ τετράμετρα, καταληκτικὰ καὶ ἀκατάληκτα, βραχυκατάληκτα καὶ ὑπερκατάληκτα. 12

Μονόμετρον μὲν οὖν βραχυκατάληκτον τροχαϊκὸν ὡς τοῦτο

ὕψος.

καταληκτικὸν δὲ

καλλίπαι.

ἀκατάληκτον μονόμετρον

βασίλεια.

ὑπερκατάληκτον

τληπόνων καινῶν.

καὶ μονόμετρα μὲν ταῦτα.

Δίμετρα δὲ βραχυκατάληκτον μὲν τὸ καλλίπαι θεοῖο.

τοῦτο καὶ ἰθυφαλλικὸν ὀνομάξεται, διὰ τὸ ἐπὶ [ἰάμβου] . . . . . : οὗ χάριν καὶ ὁ ἰθύφαλλος παραλαμβάνεται. Ἔστι δὲ ἐκ τριῶν τροχαίων. Καταληκτικὸν δὲ

ἀμερίων τληπόνων.

καὶ τοῦτο ἐπισημότατόν ἐστι καὶ Εὐριπίδ(ε)ιον λέγεται. Ἀκατάληκτον δὲ

ἐξ ἰλύος αἰθέριον.

δίμετρον δὲ ὑπερκατάληκτον μὲν

καλλίπαι θεοῖό μοι νύμφα.

Τρίμετρα δὲ πάλιν βραχυκατάληκτον (μὲν τὸ καταληκτικὸν) δὲ

ἃ χοροῖς εὐαγέεσσιν ἀγγέλων.

τοῦτο δὲ τὸ καταληκτικὸν τρίμετρον, ὃ δὴ καὶ Ἀρχιλόχειον λέγεται, ὡς Ἀρχιλόχου τοῦ ποιητοῦ κατακόρως αὐτῷ χρησαμένου, ἀκέφαλος καλεῖται ἴαμβος, ὅτι, ἐὰν κατὰ τὴν ἀρχὴν μία συλλαβὴ αὐτῷ προστεθῇ, ἴαμβος γενήσεται τρίμετρος ἀκατάληκτος. Καὶ καταληκτικὸν μὲν τροχαϊκὸν τὸ ῥηθέν, ἀκατάληκτον δὲ τρίμετρον

ἐξ ἰλύος αἰθέριον ἀμβιβάσασ'.

ὑπερκατάληκτον δὲ

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



μέτρων διαληψόμεθα. Εἰσὶ δὲ καὶ ταῦτα δύο τὰ καθολικά, τό τε δακτυλικόν, τὸ καὶ ἡρῶον καλούμενον, καὶ τὸ ἀναπαιστικόν. Προτάττεται μέντοι τοῦ ἀναπαιστικοῦ τὸ δακτυλικὸν διὰ τὸ ἐνδοξότερόν τε εἶναι καὶ γνωριμώτερον καὶ προσέτι τῶν μέτρων τῶν λοιπῶν ἀρχαιότερον. Πρότερον γὰρ παρὰ τοῦ πυθικοῦ τρίποδος εὕρηται. Καλεῖται δέ, ὡς ἔφαμεν, καὶ ἡρωϊκὸν ἢ διὰ τὸ εἶναι τῶν λοι- 14
πῶν, ὡς εἴπομεν, προγενέστερον, καθὸ καὶ ἥρωας τοὺς παλαιοὺς ἐκείνους ἀνθρώπους λέγομεν, ἢ παρ' ὅσον τὰ τῶν ἡρώων ἔργα διὰ τοῦ τοιούτου μέτρου Ὅμηρος καὶ οἱ λοιποὶ τῶν ποιητῶν διεξῆεσαν. Ὀνομάζεται δὲ καὶ πυθικὸν καὶ ἔπος καὶ ἑξάμετρον, ὡς εἶναι τὰς πάσας αὐτοῦ ὀνομασίας ε'. Δέχεται δὲ τὸ δακτυλικὸν μέτρον κατὰ πάσας τὰς χώρας ἀδιαφόρως τὸν ὁμώνυμον αὐτοῦ δάκτυλον καὶ τὸν σπονδεῖον, ἐν δὲ τῇ τελευταίᾳ, ὅτι καταληκτικόν ἐστιν εἰς δισύλλαβον, τροχαῖον ἢ σπονδεῖον. Βαίνεται δέ, τουτέστι ποδίζεται καὶ μετρεῖται, τὸ δακτυλικὸν μέτρον κατὰ μονοποδίαν, διότι ἐκ τρισυλλάβων μάλιστα καὶ κυριωτέρως ἥρμοσται ποδῶν. Ἔφαμεν δέ, ὡς μόνα τὰ ἐκ δισυλλάβων ποδῶν συγκείμενα μέτρα κατὰ διποδίαν μετρεῖται.

Αὔξεται δὲ μέχρι ποδῶν ἓξ. Καὶ ἔστιν ἐν αὐτῷ περιφανέστατον καὶ ἐπισημότατον τὸ ἑξάμετρον δακτυλικόν, καταληκτικὸν εἰς δισύλλαβον, οἷά εἰσι

Περὶ τοῦ δακτυλικοῦ.

Ὅτι τὸ δακτυλικὸν οὐκ ἔχει μονόμετρον, ἀλλ' ἀπὸ τοῦ διμέτρου ἄρχεται καὶ καταντᾷ μέχρι τοῦ ἑξαμέτρου. Μετρεῖται δὲ κατὰ μονοποδίαν.

Ὅτι καταληκτικὰ τὸ δακτυλικὸν καὶ εἰς μονοσυλλαβίαν καὶ εἰς δισυλλαβίαν, ὑπερκατάληκτα δὲ καὶ βραχυκατάληκτα οὐκ ἔχει.

τά τε Ὁμήρου καὶ Ἡσιόδου καὶ τῶν λοιπῶν ποιητῶν, καὶ δὴ καὶ τὰ προκείμενα μέτρα. Ὑφίστησι δὲ καὶ τὸ δακτυλικὸν μέτρον κατὰ ὑφαίρεσιν μόνα δίμετρά καὶ τρίμετρα καὶ τετράμετρα καὶ πεντάμετρα καὶ ἑξάμετρα, καταληκτικὰ εἰς συλλαβὴν καὶ εἰς δισύλλαβον καὶ ἀκατάληκτα. Ὑπερκατάληκτα γὰρ ἢ βραχυκατάληκτα μέτρα οὐκ ἔχει ὅλως τὸ παρὸν μέτρον, καθὰ τὸ ἰαμβικὸν καὶ τροχαϊκόν· ἐπεὶ μηδὲ ἐγχωρεῖ ὅλως. Τὸ γὰρ δίμετρον φέρε εἰπεῖν ὑπερκατάληκτον οἷον τὸ

ἃ τὸν παντογόνου,

ἐπειδὴ κατὰ μονοποδίαν μετρεῖται τὸ μέτρον, τίνος χάριν μὴ τρίμετρον καταληκτικὸν εἰς συλλαβὴν ἐροῦμεν αὐτό; καὶ ἐπὶ τῶν ἑξῆς ὡσαύτως. Οὐ μὴν ἀλλ' οὐδὲ μονόμετρα ὅλως ἔχει τὸ προκείμενον μέτρον· συνέμπτωσις γὰρ ἂν ἐγίνετο τῷ δακτυλικῷ πρὸς τὰ ἰαμβικὰ καὶ τροχαϊκά. Οἷον τὸ μονόμετρον δακτυλικόν, φέρε εἰπεῖν, εἰ μὲν σπονδεῖος ἦν, ἐδόκει καὶ ἰαμβικόν· εἰ δὲ δάκτυλος, ὠνομάζετ' ἂν καὶ τροχαϊκὸν καταληκτικόν. Ὥστε μόναι αἱ τῶν ῥηθέντων καταλήξεις εἰσί.

Καὶ δὴ δίμετρον μὲν καταληκτικὸν εἰς δισύλλαβον, ὡς τοῦτο

παμμεδέοντα.

καταληκτικὸν γὰρ εἰς συλλαβὴν δίμετρον οὐκ ἐγχωρεῖ γενέσθαι διὰ τὴν αἰτίαν, ἣν λέγομεν, ἵνα μὴ τῷ τροχαϊκῷ καὶ ἰαμβικῷ τὸ δακτυλικὸν συνεμπέσῃ. ἀκατάληκτον δέ, ὡς τοῦτο

ἐκ καθαρῶν τέκες.

Ὅτι καταληκτικὸν εἰς συλλαβὴν οὐχ εὕρηται ἐν τῷ δι[α]μέτρῳ.

Τρίμετρα δὲ [καταληκτικὰ δέ] καταληκτικὰ μὲν εἰς συλλαβὴν

ἃ τὸν παντογόνου.

τοῦτο δὲ ἐπισημότατον καὶ πενθημιμερὲς Ἀρχιλόχειον λέγεται, ὅτι ἐκ δύο ἥμισυ σύγκειται ποδῶν· οἱ τοῦ πέντε εἰσὶν ἥμισυ. Καταληκτικὸν δὲ εἰς δισύλλαβον τὸ

υἱέα παμμεδέοντα.

ἀκατάληκτον δὲ τοῦτο

ἐκ καθαρῶν λαγόνων τέκες.

Τετράμετρον δέ· καταληκτικὸν μὲν εἰς συλλαβὴν

υἱέα παμμεδέοντα λόγον.

καὶ τοῦτο ἐπισημότατόν ἐστιν ἑφθημιμερὲς καλούμενον, ὅτι ἐκ τριῶν ἥμισυ ποδῶν σύγκειται· οἵ εἰσιν ἥμισυ τοῦ ἑπτά. Ὡς καὶ τὸ πενθημιμερές, παρόσον ἐκ δύο ἥμισυ. Τοῦτο δὲ τὸ ἑφθημιμερὲς Ἀλκμανικὸν καλεῖται, ὅτι πολλαχοῦ κατακόρως Ἀλκμὰν τούτῳ κέχρηται. Τετράμετρον οὖν καταληκτικὸν εἰς συλλαβήν ἐστι τὸ ῥηθὲν ἑφθημιμερές. Εἰς δὲ δισύλλαβον καταληκτικὸν τετράμετρον, τοῦτο

ἐκ καθαρῶν λαγόνων τέκες ἁγνά.

καὶ τοῦτο ἐπισημότατόν ἐστι καὶ Ἀρχιλόχειον ὀνομάζεται. Ἀκατάληκτον δὲ τετράμετρον

υἱέα παμμεδέοντα λόγον τέκες.

Ἔνδοξόν ἐστι καὶ τοῦτο Ἀρχιλόχῳ καὶ Ἀλκμᾶνι πολλαχοῦ κεχρημένον. Τετράμετρα μὲν οὖν ταῦτα. 16

Τρίμετρον καταληκτικὸν εἰς συλλαβὴν τὸ πενθημιμερὲς καὶ Ἀρχιλόχειον.

Τετράμετρον καταληκτικὸν εἰς συλλαβὴν (τὸ ἑφθημιμερὲς καὶ Ἀλκμανικόν).

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

τοῦ γὰρ κρέα τὸ $\overline{\alpha}$ μακρὸν ἐκ κράσεως. Εἰ δὲ καταληκτικόν, εἰ μὲν εἰς δισύλλαβον, πάλιν ἢ σπονδεῖον ἢ τροχαῖον, διὰ τὸ ἀδιάφορον ἔχειν τὴν ἐπὶ τέλους ὡς τὸ

ἠῷ̃(ο)ς δ' ἐπὶ γαῖαν ἀπ' οὐρανοῦ ἀστερόεντος·
ἀὴρ πυρ(ο)φόρος τέταται μακάρων ἐπὶ ἔργοις.

τὸ μὲν γὰρ πρότερον ἔπος εἰς τροχαῖον, τὸ δὲ δεύτερον εἰς σπονδεῖον ἀπαρτίζει. Εἰ δὲ καταληκτικόν ἐστιν εἰς συλλαβήν, ἡ συλλαβὴ πάλιν αὖτη μακρά ἐστιν ἢ βραχεῖα διὰ τὸ ἀδιάφορον. Καὶ περὶ μὲν τοῦ κοινοῦ δακτυλ(ικ)οῦ τοσαῦτα. 17

Περὶ Αἰολικοῦ. Τὸ δὲ καθόλου δακτυλικὸν διαιρεῖται εἰς τρία, εἴς τε τὸ κοινὸν δακτυλικόν, περὶ οὗ ἐν τοῖς ἀνωτέρω διελαμβάνομεν, καὶ εἰς τὸ αἰολικὸν καὶ τὸ καλούμενον λογαοιδικόν. Αἰολικὸν μὲν οὖν ἐστίν, ὅπερ κατὰ τὴν ἀρχὴν ἀντὶ τοῦ πρώτου ποδὸς δέχεται ἕνα τῶν δισυλλάβων, οἷον σπονδεῖον ἢ τροχαῖον ἢ ἴαμβον ἢ πυρρίχιον, τοὺς δὲ ἐφεξῆς πάντας ἀδιαφόρως σπονδείους ἢ δακτύλους, ὡς καὶ τὸ κοινὸν δακτυλικόν· καὶ τὴν ἐπὶ τέλει κατακλεῖδα ὁμοίως δάκτυλον ἢ σπονδεῖον ἢ τροχαῖον. Αἰολικὸν δὲ ὠνομάσθη διὰ τὸ τοὺς Αἰολεῖς αὐτὸ κατακόρως χρήσασθαι. Ὁμοίως ἐπὶ τῶν τριῶν στίχων τῶν ἐκτεθέντων ἐπιτετηδευμένως ὁ μὲν πρῶτος τροχαῖον ἔχει κατὰ τὸν πρῶτον πόδα, ὁ δὲ δεύτερος σπονδεῖον ἢ ἴαμβον, ὁ δὲ τρίτος πυρρίχιον, ἵνα τῆς κατὰ τοὺς τέσσαρας δισυλλάβους τροπῆς τοῦ

Περὶ τοῦ Αἰολικοῦ δακτυλικοῦ. Ὅτι Αἰολικὸν δακτυλικόν ἐστι τὸ κατὰ τὴν α χώραν ἔχον πόδα δισύλλαβον οἱονοῦν καὶ τὴν κατακλεῖδα ὡσαύτως, τοὺς δὲ μέσους ἀδιαφόρους σπονδεῖον καὶ δάκτυλον.

αἰολικοῦ ἐντεῦθεν ἔχωμεν λαμβάνειν τὰ παραδείγματα. Εἰσὶ δὲ καὶ τούτου τοῦ μέτρου ἀποθέσεις, τουτέστι καταλήξεις, τοσαῦται, ὅσαι καὶ τοῦ ἁπλῶς δακτυλικοῦ, μόναι τρεῖς.

Μονόμετρα μὲν οὖν οὐκ εἰσί, δι' ἃς ἔφαμεν αἰτίας ἐν τῷ περὶ δακτυλικοῦ.

Δίμετρα δὲ πάλιν, καταληκτικὰ μὲν εἰς συλλαβήν, οὐδαμῶς εἰσὶν ἐνταῦθα, ὡς οὐδ' ἐκεῖ· ἐμπεσεῖται γὰρ πάλιν εἰς τὸ ἢ ἰαμβικὰ δοκεῖν ἢ τροχαϊκά. Δίμετρον δὲ αἰολικὸν καταληκτικὸν εἰς δισύλλαβον τὸ

ἐκ σέθεν μέν·

ἔχει γὰρ ἕνα τε πόδα δισύλλαβον καὶ δύο συλλαβάς, οὐχ ὁλόκληρον πόδα τρισύλλαβον. Δίμετρον 18
δὲ ἀκατάληκτον τὸ

μέγαν ἄμβροτον.

Τρίμετρον δέ, καταληκτικὸν μὲν εἰς συλλαβὴν τὸ

ἐκ σέθεν μὲν ἄνα.

καταληκτικὸν δὲ εἰς δισύλλαβον τὸ

ἴσον μοί τε φανέντα.

ἀκατάληκτον δὲ τρίμετρον δὲ

ἴσον μοί τε φανέντα γε.

Τῶν δὲ τετραμέτρων καταληκτικὸν μὲν εἰς συλλαβήν ἐστι τὸ

ὃ δὲ ἦν μείναντα θεόν.

καταληκτικὸν δὲ εἰς δισύλλαβον, ὃ καὶ Ἡφαιστίων ἐπισημειοῦται, διὰ τὸ πολλαχοῦ αὐτῷ κεχρῆσθαι τοὺς παλαιοὺς τὸ

ἐκ σέθεν μὲν ἄνασσα φανέντα.

τετράμετρον δὲ ἀκατάληκτον τὸ

ἴσον μοί τε φανέ[ε]ντα ἁμαρτάδος.

καὶ τοῦτο δὲ ἐπισημότατόν ἐστιν.

Πεντάμετρα δέ εἰσι, κατάληκτον μὲν εἰς συλλαβὴν τὸ

ἐκ σέθεν μὲν ἄνασσα δανεισάμενον.

καταληκτικὸν δὲ εἰς δισύλλαβον τὸ

ἴσον μοί τε φανέ[ε]ντα ἁμαρτάδος ἐκτός.

καὶ ταῦτα δὲ ἐπίσημα τοῖς παλαιοῖς εἰσίν. Ἀκατάληκτον δὲ πεντάμετρον καὶ σαπφικὸν τεσσαρεσκαιδέκατον ὀνομάζεται διὰ τὸ τὴν Σαπφὼ ὁλόκληρα ᾄσματα γράψαι τούτῳ τῷ μέτρῳ.

Καὶ ἑξάμετρα μέν εἰσι, καταληκτικὰ μὲν εἰς συλλαβὴν ὡς τὸ

ἴσον μοί τε φανέ[ε]ντα ἁμαρτάδος ἔκτοθι γάρ.

Εἰς δὲ δισύλλαβον καταληκτικὸν ἕκαστος τῶν ἐκτεθέντων τριῶν στίχων· ἃ καὶ διὰ τὸ ἀξιοζηλώτατα εἶναι, τοιαῦθ' ἡμῖν παρελήφθησαν εἰς παράδειγμα. Τὸ περαίτερον δὲ τούτων προβαίνειν οὔτε τοὺς παλαιοὺς εὕρομεν ποιουμένους καὶ ἡμῖν, οἶμαι, περιττόν, ἱκανῶς ἤδη ῥηθέντων. Τοσαῦτα καὶ περὶ τοῦ αἰολικοῦ δακτυλικοῦ.

Περὶ τοῦ λογ[ο]αοιδικοῦ. Τὸ δὲ λοιπὸν εἶδος τοῦ δακτυλικοῦ τὸ καλούμενον λογ[ο]αοιδικὸν δακτυλικόν, ἀντιπαθὲς. καὶ οἷον ὑπεναντίον ἐστὶ 19
τῷ αἰολικῷ. Τὸ μὲν γὰρ καταρχὰς ἕνα τῶν δισυλλάβων ἐδέχετο· τοῦτο δὲ κατὰ τὸ τέλος, πλὴν

Ὅτι αἰολικὸν δακτυλικὸν πεντάμετρον ἀκατάληκτον Σαπφικὸν τεσσαρεσκαιδεκασύλλαβον ὀνομάζεται.

Περὶ τοῦ λογαοιδικοῦ. Ὅτι λογαοιδικὸν καὶ δακτυλικόν ἐστι τὸ καταρχὰς μὲν δακτύλους ἔχον β ἢ γ ἢ δ, ἐν τῷ τέλει δὲ τροχαίους β΄ ἢ ἕνα.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



τρία ἔπη λογαοιδικὰ πεντάμετρα ἀκατάληκτα, ἐκ τεσσάρων δακτύλων ἢ σπονδείων καὶ μιᾶς τροχαϊκῆς διποδίας. Ταῦτα ἐπειδὴ μὴ κατὰ μονοποδίαν ἐπὶ τῷ τέλει μετρεῖται, ὡς ἔφαμεν, διὰ τὸ δέχεσθαι τοὺς τροχαίους δισυλλάβους ὄντας, ἀπόθεσιν μὲν ἤτοι κατάληξιν καταληκτικὴν εἰς δισύλλαβον οὐχ ἕξει, ὡς οὐδὲ τὰ τροχαϊκὰ ἢ ἰαμβικά· ἕξει δὲ ἀκατάληκτον μόνην καὶ ὑπερκατάληκτον. Οὐ μὴν ἀλλ' οὐδὲ μονόμετρον ὅλως ἕξει διὰ τὰς αἰτίας, ἃς εἴπομεν ἐν τῷ περὶ δακτυλικοῦ· οὐδὲ δίμετρον βραχυκατάληκτον ἢ καταληκτικόν, ἵνα μὴ πάλιν τῷ δακτύλῳ συνεμπέσοι. Ἀκατάληκτον οὖν δίμετρόν ἐστι τόδε

ἀνίδεον φανέντα·

ὑπερκατάληκτον δὲ τὸ τούτου μιᾷ συλλαβῇ πλεονάζον ὡς τὸ

ἀνίδεον φανέντα γε.

Τρίμετρα δέ, βραχυκατάληκτον μὲν οὐκ ἔσται, ἵνα μὴ πάλιν τῷ δακτυλ(ικ)ῷ συνεμπέσοι, οὐδὲ καταληκτικὸν δι' αὐτὸ τοῦτο, μόνον δὲ ἀκατάληκτον καὶ ὑπερκατάληκτον. Καὶ ἀκατάληκτον μὲν τοῦτο

καὶ θεὸν ἀμερίοις βροτοῖσι·

Τοῦτο δὲ καὶ Ἀλκαϊκόν, ὡς ἔφαμεν, λέγεται. Ὑπερκατάληκτον δὲ τὸ τούτου μιᾷ συλλαβῇ πλεονάζον ὡς τὸ

καὶ θεὸν ἀμερίοις[ι] βροτοῖσί γε.

Καὶ τετράμετρα καὶ πεντάμετρα ὡσαύτως μόνα ἀκατάληκτα καὶ ὑπερκατάληκτα ἔσονται διὰ τὰς αἰτίας, ἃς εἴπομεν πολλάκις. Καὶ τετράμετρον μὲν ἀκατάληκτον, ὡς ἔφαμεν, ὃ καὶ Προξίλλειον ὀνομάζεται τὸ

ἀνίδεον θεότητα λόγοισι θείοις.

Ὑπερκατάληκτον δὲ τὸ τούτου συλλαβῇ μιᾷ πλεονεκτοῦν. Πεντάμετρα δὲ ἀκατάληκτα τὰ προκείμενα τρία ἔπη. Ὑπερκατάληκτα δὲ τὰ ἐφ' ἑκάστῳ τούτων [καὶ] μίαν συλλαβὴν ἔχοντα ἐπέκεινα. Καὶ περὶ τοῦ λογ[ο]αοιδικοῦ ταῦτα.

Περὶ ἀναπαιστικοῦ.

Μετὰ τὸ περὶ τοῦ δακτυλικοῦ, τοῦ τε κυρίου καὶ τῶν εἰδῶν τούτου, διαλαβεῖν εὔλογον ἂν εἴη καὶ περὶ τοῦ ἀναπαιστικοῦ μέτρου διδάξαι. Ὡς 21
γὰρ ὁ τροχαῖος καὶ τὸ ἐκ τούτου μέτρον ἀντιπαθὲς ἦν τῷ ἰάμβῳ ἐν πᾶσιν, ὡς ἔφαμεν, οὕτω καὶ ὁ ἀνάπαιστος, ὅν τινες ὡς εἴπομεν καὶ ἀντιδάκτυλον καλοῦσιν, τῷ δακτύλῳ. Πάλιν γὰρ κἀνταῦθα μιᾶς συλλαβῆς προστεθείσης ἢ ἀφαιρεθείσης τοῦ δακτυλικοῦ στίχου γίνεται ἀναπαιστικὸς καὶ ἔμπαλιν οἷον

καὶ σὺ μάκαιρα.

Τὸ τοίνυν ἀναπαιστικὸν μέτρον καθολικὸν καὶ γενικόν ἐστι, καθὰ καὶ τὸ δακτυλικόν. Καὶ τὸ μὲν αὐτοῦ ἐστὶ τὸ καθαρὸν ἀναπαιστικόν, ὅπερ κατὰ πᾶσαν χώραν δέχεται ⏑ ⏑ – ἀνάπαιστον καὶ – – σπονδεῖον, σπανίως δὲ καὶ ⏑ ⏑ ⏑ ⏑ προκελευσματικόν, ὅς ἐστιν ἐκ τεσσάρων βραχέων, καὶ – ⏑ ⏑ δάκτυλον. Τὸ δὲ αἰολικὸν ἀναπαιστικόν, ὅπερ ἰαμβικὸν ἕνα (δέχεται) ἐν τῇ ἀρχῇ, τοὺς δὲ λοιποὺς ὁμοίους τῷ κυρίῳ ἀνα-

---

Περὶ τοῦ ἀναπαιστικοῦ.

Ὅτι τὸ κύριον ἀναπαιστικὸν ἀνάπαιστον δέχεται καὶ σπονδεῖον, σπανίως καὶ προκελευσματικόν, ἀδιαφόρους δὲ τούτους. Τὸ δὲ αἰολικὸν ἀναπαιστικὸν ἴαμβον μόνον ἐν τῇ ἀρχῇ. Τὸ δὲ λογαοιδικὸν ἀναπαιστικόν, ἐπὶ τέλει ἴαμβον καὶ συλλαβὴν μακράν.

παιστικῷ. Τὸ δ' ἄλλο λογ[ο]αοιδικόν ἐστιν ἀναπαιστικόν, ὅπερ ἐπὶ τέλει οὐ τροχαϊκὴν διποδίαν, ἀλλ' ἴαμβον ἕνα δέχεται καὶ μίαν συλλαβὴν μακρὰν ὡς ἐπὶ πολὺ ἢ βραχεῖαν, ὡς εἶναι τὸν τελευταῖον πόδα ἢ ⏑ – ⏑ ἀμφίβραχυν, ἐὰν βραχεῖά ἐστιν ἡ τελευταία συλλαβή, ἢ ⏑ – – βακχεῖον, ἐὰν μακρά, ὃ δὲ .... καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἔφαμεν γίνεται. Ἔστι γὰρ ὁ μὲν ἀμφίβραχυς ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας, οἷον ἔγωγε· ὁ δὲ βακχεῖος ἐκ βραχείας καὶ δύο μακρῶν. Ὡς δὲ ὁ δάκτυλος οἰκειοῦται τῷ τροχαίῳ ὡς ἀπὸ μακρᾶς ἀρχομένῳ καὶ λήγοντι εἰς βραχεῖαν, καθὰ καὶ αὐτὸς ὁ δάκτυλος, οὕτω καὶ ὁ ἀνάπαιστος οἰκεῖός ἐστι τῷ ἰάμβῳ, ὡς ἀπὸ βραχείας ἀρχομένῳ ὁμοίως αὐτῷ. Διὰ τοῦτο τὸ μὲν δακτυλικὸν λογ[ο]αοιδικὸν ἐπὶ τέλει τροχαϊκὴν ἐδέχετο διποδίαν, τὸ δὲ ἀναπαιστικὸν λογαοιδικὸν ἴαμβον.

Ἡμεῖς δέ, ὡς ἐκ τῶν ἤδη ῥηθέντων ἐν τοῖς περὶ δακτυλικοῦ νοηθῆναι δυνάμενοι καὶ τούτων, τοῦ τε αἰολικοῦ φημὶ ἀναπαιστικοῦ καὶ τοῦ λογ[ο]αοιδικοῦ, παραδείγματα αὐτῶν οὐ τεθείκαμεν ἄνω τριῶν στίχων, ἀλλὰ μόνου ἑνός.

Ὥσπερ οὖν ἐλέγομεν, τὸ ἀναπαιστικὸν μέτρον δέχεται κατὰ πᾶσαν χώραν ἀδιαφόρως ἀνάπαιστον τὸν ὁμωνυμοῦντα τῷ μέτρῳ πόδα, (καὶ) σπονδεῖον ὃς ἀνάπαιστός ἐστι δυνάμει τῆς προτέρας αὐτοῦ λυθείσης εἰς δύο βραχείας· καὶ τούτους μὲν ὡς ἐπὶ τὸ πολὺ δέχεται· ⏑ ⏑ ⏑ ⏑ προκελευσματικὸν δὲ καὶ – ⏑ ⏑ δάκτυλον ὡς ἐπ' ἔλαττον. Πλὴν τὸν προκελευσματικόν, ὅς ἐστιν ἐκ τεσσάρων βραχέων, οἷον ἄγε φέρε, διότι λύεται εἰς αὐτὸν ὁ ἀνάπαιστος· τοῦ

Ὅτι δέχεται τὸ ἀναπαιστικὸν καὶ δάκτυλον σπανίως.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

τι τὴν ἑξαμετρίαν ὑπερβαίνει. Ἐπεὶ οὖν εὑρίσκονται ἀναπαιστικὰ καὶ ἐξ ἑπτὰ καὶ ἐξ ὀκτὼ συγκείμενα ποδῶν, διὰ τοῦτο τὰ τοιαῦτα μετρεῖν κατὰ διποδίαν ἀναγκαζόμεθα. Τὰ μέντοι προκείμενα ἡμῖν μέτρα, οἱ τρεῖς οὗτοι ἀνάπαιστοι, δύνα[ν]ται καὶ κατὰ μονοποδίαν μετρούμενα ἀναπαιστικὰ καθαρὰ ἑξάμετρα καταληκτικὰ εἰς δισύλλαβον λέγεσθαι, καθὰ καὶ τὰ ὅλα ἡρωϊκά· δύνα[ν]ται δὲ (καὶ) κατὰ διποδίαν ποδιζόμενα ἀναπαιστικὰ τρίμετρα καταληκτικὰ εἰς δισύλλαβον ὀνομάζεσθαι. Τὰ δ' ἐπέκεινα τούτων κατὰ μονοποδίαν μόνον μετρεῖται, δι' ἣν εἴπομεν αἰτίαν.

Μονόμετρα γοῦν παλιν ἀναπαιστικὰ ὅλως οὐκ εἰσίν, ὡς οὐδὲ δακτυλικά.

Δίμετρα δὲ βραχυκατάληκτα μὲν ὡς τὸ

ἐμέθεν μελέων, ἐμέθεν.

Καταληκτικὸν εἰς συλλαβὴν τὸ

ἵνα λῷον ἄγοις κατὰ σόν με.

Τοῦτο δὲ παροιμιακὸν καὶ ἐφθημ(ιμ)ερικὸν καλεῖται.

Καταληκτικὸν δὲ εἰς δισύλλαβον οἷον τὸ

σὺ μάκαιρα κύδιμε κόρα κεδνά.

Ἀκατάληκτον δὲ δίμετρον ἀναπαιστικὸν τὸ

ἐμέθεν μελέων, ἐμέθεν κραδίης.

Ὑπερκατάληκτον εἰς συλλαβὴν τὸ

ἵνα λῷον ἄγοις κατὰ σόν με θέλημα.

Ὑπερκατάληκτον εἰς δισύλλαβον δίμετρον τὸ

ἐμέθεν μελέων, ἐμέθεν κραδίης ὁρμάν.

καὶ δίμετρα μὲν ταῦτα.

Τρίμετρα δὲ πάλιν, βραχυκατάληκτον μὲν οἷον τὸ

σὺ μάκαιρα κύδιμε ἀριστοτόκεια κόρα.

Καταληκτικὸν δὲ τὸ μὲν εἰς συλλαβήν, Σιμμιακὸν καλεῖται, ὅτι πολλῷ αὐτῷ χρῆται Σιμμίας ὁ Ῥόδιος. Ἔστι δὲ ὡς τοῦτο

ἵνα λῷον ἄγοις κατὰ σόν (με) θέλημα ὁδηγεῦ.

Τὸ δὲ εἰς δισύλλαβον, ὡς ἕκαστος τῶν προτεθέντων τριῶν στίχων. Ἀκατάληκτον δὲ τὸ τούτων μιᾷ συλλαβῇ πλεονάζον. Ταῦτα δὲ πάντα κατὰ μονοποδίαν δύναται μετρεῖσθαι, ὡς ἔφαμεν. Ὑπερκατάληκτον δὲ τὸ μὲν εἰς συλλαβήν ἐστιν, ὃ τῶν προρρηθέντων τριῶν ἐπῶν πλεονάζει δυσὶ συλλαβαῖς οἷον τὸ

σὺ μάκαιρα κύδιμε ἀριστοτόκεια κό[υ]ρα κεδνά, ἵνα.

Ὑπερκατάληκτον εἰς δισύλλαβον, ὃ τῶν εἰρημένων ἐπῶν συλλαβαῖς τρισὶ πλεονάζει. Καὶ ἐπὶ τῶν τετραμέτρων ὡσαύτως, ἵνα μὴ φαίνωμαι περιττολογῶν. Πλὴν τὸ τετράμετρον καταληκτικὸν εἰς συλλαβὴν ἐπισημότατόν ἐστι καὶ Ἀριστοφάνειον ὀνομάζεται, οὐχ ὅτι πρῶτος αὐτῷ ἐχρήσατο Ἀριστοφάνης, ἀλλ' ὅτι κατακόρως καὶ συνεχῶς. Ἀριστόξενος γάρ, εἶτα Ἐπίχαρμος, εἶτα Κρατῖνος, εἶτα μετὰ τοῦτον Ἀριστοφάνης εὕρηται τῷ μέτρῳ τούτῳ χρώμενος. Ἔστι δὲ τοιοῦτον οἷον τὸ

ἐμέθεν μελέων, ἐμέθεν κραδίης ἰθύνουσ' ὁρμὰν ἵνα λῷον.

Περὶ αἰολικοῦ. Τοιοῦτόν ἐστιν, ὅσον τέως κατὰ τὸ τετράμετρον καταληκτικὸν εἰς συλλαβὴν καὶ τὸ

νόες γὰρ ἀδρανέες ἄμμιν ἀνάλκιδες ἀπροτίοπτοι ἀβληχροί.

Τὸ τρίμετρον καταληκτικὸν εἰς συλλαβὴν Σιμμιακὸν καλεῖται. Ὅτι τὸ τετράμετρον καὶ εἰς συλλαβὴν καταληκτικὸν Ἀριστοφάνειον καλεῖται.

Ἡμῖν δὲ τοῦτο τὸ ἔπος εἰς παράδειγμα τέθειται τοῦ αἰολικοῦ ἀναπαιστικοῦ. Τὸ γὰρ αἰολικόν, ὡς ἔφαμεν, ἀναπαιστικὸν τὸν καταρχὰς πόδα ἴαμβον δέχεται. Τοὺς δὲ ἐφεξῆς ὁμοίως τῷ ἀναπαιστικῷ σπονδείους ἢ ἀναπαίστους ἀδιαφόρως καὶ τὸν τελευταῖον τροχαῖον ἢ σπονδεῖον διὰ τὸ ἀδιάφορον, ὅτε ἐστὶ καταληκτικὸν εἰς δισύλλαβον. Ἔστιν οὖν τὸ ῥηθὲν ἔπος αἰολικὸν τετράμετρον ἀναπαιστικὸν καταληκτικὸν εἰς συλλαβήν, ὅμοιον τῷ Ἀριστοφανείῳ ἀναπαιστικῷ.

Περὶ λογ[ο]αοιδικοῦ. Ἔστι καὶ λογαοιδικὸν ὡς εἴπομεν ἀναπαιστικόν, ὅπερ καταρχὰς μὲν ἀναπαίστους $\overline{\delta}$ δέχεται, μετὰ δὲ τούτους ἕνα ἴαμβον καὶ μακρὰν συλλαβήν, ὡς εἶναι τὸν τελευταῖον πόδα ⏑ – ⏓ βακχεῖον, ἐκ βραχείας μιᾶς καὶ δύο μακρῶν συλλαβῶν. Παράδειγμα δὲ τούτου τὸ

μόρον οὐ νοέοντες ἐφιστάμενον κατάντην.

Καλεῖται δὲ τοῦτο Ἀρχεβούλειον, ἅτε δὴ τοῦ Θηβαίου ποιητοῦ Ἀρχεβούλου κατακόρως αὐτῷ χρησαμένου. Διὰ τὴν αὐτὴν αἰτίαν καὶ Καλλιμάχειον ὀνομάζεται. Κατὰ διποδίαν δὲ μετρούμενον τρίμετρόν ἐστι λογαοιδικὸν ἀναπαιστικόν, εἰς συλλαβὴν καταληκτικόν. Δι' ἣν δὲ αἰτίαν λογαοιδικόν, εἴρηται ἡμῖν ἐν τοῖς ὄπισθεν. Ταῦτα περὶ ἀναπαιστικοῦ καὶ τῶν τούτου εἰδῶν.

Λογαοιδικὸν δὲ ἀναπαιστικὸν τὸ καὶ Ἀρχεβούλειον τόδε

μόρον οὐ νοέοντες ἐφιστάμενον κατάντην,

ἤγουν τὸ ἔχον τέσσαρας ἀναπαίστους, ἴαμβον ἕνα καὶ μακρὰν συλλαβήν. Τὸ αὐτὸ καὶ Καλλιμάχειον. Ἔστι δὲ τρίμετρον τόδε λογαοιδικὸν ἀναπαιστικὸν καταληκτικὸν εἰς συλλαβήν.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



ἐκ χοριάμβων ποδῶν διόλου, καθαρὸν ὀνομάζεται· εἰ δ' ἐπὶ τέλει διποδίαν ἢ μονοποδίαν ἰαμβικὴν λάβοι, ἐπίμικτον λέγεται. Εἰσὶ δὲ τῶν προτεθέντων ἡμῖν χοριαμβικῶν ἐπῶν τὰ μὲν πρότερα τρία καθαρά, τὰ δὲ ἐφεξῆς δύο ἐπίμικτα τοῖς ἰάμβοις.

Ἀποθέσεις δὲ ἤτοι καταλήξεις ἔχει τὰ χοριαμ- 27
βικὰ καὶ ἁπλῶς τὰ ἐκ τετρασυλλάβων ποδῶν μέτρα, μόνα(ς) ταύτα(ς)· καταληκτικήν, ὑπερκατάληκτον, ἀκατάληκτον· βραχυκατάληκτον δέ, ὡς οἱ πρὸ ἡμῶν μετρικοί φασιν, οὐ δέχεται, ἵνα μὴ τοῖς ἐκ δισυλλάβων ποδῶν συγκειμένοις μέτροις κατὰ τοῦτο συμπίπτωσιν· ἐκείνων γὰρ ἴδιον τοῦτο· ὥσπερ οὐδὲ καταληκτικὸν εἰς συλλαβὴν καὶ δισύλλαβον· τοῦτο γὰρ ἐκ τῶν τρισυλλάβων ποδῶν βαινομένων μέτρων ἴδιον ἦν. Μόνας οὖν ἔχει τὰς εἰρημένας. Τὸ μέντοι χοριαμβικὸν μέτρον καὶ τὰ ἑξῆς πάντα τὰ ἐκ τετρασυλλάβων ποδῶν κατὰ μονοποδίαν μετρεῖται. Ἄρχεται δὲ καὶ τοῦτο ἀπὸ τοῦ διμέτρου καταληκτικοῦ, ἵνα μὴ τοῖς ῥηθεῖσι συμπίπτῃ μέτροις. Τὸ δὲ καταληκτικόν, εἰ μὲν καθαρόν ἐστι, εἰς δάκτυλον λήγει ἢ ἀμφίμακρον _ ⏑ _ τὸν (κρητ)ικὸν ὀνομαζόμενον ὅς ἐστιν ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, οἷον ποιέω· εἰ δὲ μεμιγμένον τοῖς ἰάμβοις, (εἰς) ἀμφίβραχυν ⏑ _ ⏑ ὅς ἐστιν ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας οἷον ἄνακτες ἢ εἰς βακχεῖον ⏑ _ _ ὅς ἐστιν ἐκ βραχείας καὶ δύο μακρῶν οἷον ἀφαιρῶ.

Παράδειγμα τοῦ καθολικοῦ διμέτρου καταληκτικοῦ χοριαμβικοῦ, τοῦ μὲν εἰς δάκτυλον λήγοντος τόδε

Ἀποθέσεις ἔχει τρεῖς, καταληκτικόν, ἀκατάληκτον, ὑπερκατάληκτον.

Ὅτι τὸ χοριαμβικὸν καὶ τετράμετρά τ' ἄλλα κατὰ μονοποδίαν μετρεῖται. Ἄρχεται δὲ ἀπὸ διμέτρου.

καί τε καθυπνεῦντά με·
τοῦ δὲ εἰς ἀμφίμακρον
ἀλλά γε καὶ ἠρεμῶ.
Διμέτρου δὲ ἀκαταλήκτου
σεῖο δ' ἄνευ μηδὲ πνοᾶς.
ὑπερκαταλήκτου δὲ
ἀλλά γε καὶ ἠρεμόωντα.

Τρίμετρα δέ εἰσι, καταληκτικὸν μὲν εἰς δάκτυλον περαιούμενον
σεῖο δ' ἄνευ μη(δὲ) πνοᾶς μέτρα γε·
εἰς δὲ ἀμφίμακρον
ἠρεμόωντ' ἀτρεμέη βιοτᾷ·
ἀκατάληκτον δὲ τρίμετρον
καί τε καθυπνεῦντά με διαμπερέως· 28
ὑπερκατάληκτον δὲ
σεῖο δ' ἄνευ μηδὲ πνοᾶς μέτρον ἔχοιμι·
καὶ τρίμετρα μὲν ταῦτα.

Τετράμετρα δέ, καταληκτικὰ μὲν εἰς δάκτυλον περαιούμενα ὡς τόδε
καί τε καθυπνεῦντά με διαμπερέως φρούρεε·
εἰς δὲ ἀμφίμακρον
ἀλλά γε καὶ ἠρεμόωντ' ἀτρεμέη βιοτᾷ·
ἀκατάληκτον δὲ τὸ τούτου πλεονάζον μιᾷ συλλαβῇ ὡς τὸ
σεῖο δ' ἄνευ μηδὲ πνοᾶς μέτρον ἔχοιμι βιοτᾷ·
ὑπερκατάληκτον δὲ οἷον τὸ
ἀλλά γε καὶ ἠρεμόωντ' ἀτρεμέως καί τε καθυπνεῦν.

Καὶ πεντάμετρα δέ εἰσιν ὁμοίως ἀκατάληκτα,

ὑπερκατάληκτα καὶ καταληκτικά, ἃ καταληκτικὰ καὶ ὁ ποιητὴς Καλλίμαχος ἐν ὁλοκλήροις ποιήμασι τίθησι. Καὶ τὰ ἑξάμετρα δὲ καταληκτικά, εἰ καὶ ὑπέρμετρα φαίνεται, ἀλλ' ὅμως ἐπετηδεύσατο ταῦτα, ὅ τε Κερκυραῖος Φίλικος, εἷς τῆς ἐπὶ Πτολεμαίου Πλειάδος καὶ ὁ Ῥόδιος Σιμμίας ἔν τε τῷ πελέκει καὶ ἐν ταῖς πτέρυξι· ποιημάτια δέ εἰσι ταῦτα παρ' ἐκείνῳ. Καὶ τοῦ μὲν καθαροῦ χοριαμβικοῦ παραδείγματα ταῦτα τὰ ῥηθέντα.

Περὶ τοῦ ἐπιμίκτου χοριαμβικοῦ. Τοῦ δ' ἐπιμιγνυμένου τοῖς ἰάμβοις, τοῦ μὲν εἰς ἀμφίβραχυν λήγοντος διμέτρου καταληκτικοῦ παράδειγμα τὸ

εὐδιόωσα πόντον·

τοῦ δὲ εἰς βακχεῖον τὸ

εὐδιόωσα πόντους

ἀκαταλήκτου δὲ διμέτρου ἐπιμίκτου παράδειγμα

ἠπιόωσα προσπόλῳ.

Ταῦτα δὲ τὰ δύο εἴδη τοῦ ἐπιμίκτου διμέτρου Ἀνακρέων καὶ Ἀριστοφάνης ἐν τοῖς μάλιστα ἐπιτηδεύουσιν.

Περὶ ἀντισπαστικοῦ.

Μετὰ τὸ περὶ χοριαμβικοῦ μέτρου διαλαβεῖν·μέτι-

Τὰ πεντάμετρα καταληκτικὰ Καλλιμάχεια λέγονται. Εἰσὶ δὲ καὶ ἑξάμετρα, ἅπερ Φίλικος καὶ Σιμμίας γράφουσι.

Ὅτι τῷ ἐπιμίκτῳ διμέτρῳ Ἀνακρέων καὶ Ἀριστοφάνης χρῶνται.

Περὶ ἀντισπαστικοῦ.

Ὅτι καὶ τὸ χοριαμβικὸν καὶ τὸ ἀντισπαστικὸν τὸν ἴαμβον δέχονται κατὰ κλεῖδα.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

βομεν καὶ λάμβανε ἐκεῖθεν παραδείγματα τῶν συμμίκτων ἀντισπαστικῶν, ἃ καὶ Ἀνακρεόντεια καὶ Γλυκώνεια, ὡς ἐκεῖ ἔφαμεν, λέγονται, ὧν ἡ ἀρχή ἐστι

θηραῶν ἰθέριον σκέπας.

Τὰ μέντοι προκείμενα τρία ἔπη ἀντισπαστικά εἰσι καθαρὰ τετράμετρα καταληκτικά.

Ὑφίστανται δὲ ἐν τούτῳ τῷ μέτρῳ μονόμετρά τε καὶ δίμετρα καὶ τρίμετρα καὶ τετράμετρα, καὶ μὴν πεντάμετρα, καταληκτικά, ἀκατάληκτα καὶ ὑπερκατάληκτα· καὶ ταῦτα γὰρ ἀποθέσεις ἔχουσι τρεῖς, ὡς ἔφαμεν, διὰ τὸ ἐκ τετρασυλλάβων συγκεῖσθαι ποδῶν.

Μονόμετρον μὲν οὖν ἀκατάληκτον (ἢ) καταληκτικὸν οὐ δύναται ὑποστῆναι κατά γε ἐμὲ ἐν τῷ παρόντι μέτρῳ· συνεμπέσοι γὰρ ἄν τινι τῶν προρρηθέντων μέτρων· ἄλλως τε καὶ οὐδέ τις εὕρηται τῶν παλαιῶν τούτῳ χρησάμενος, οὐδ' αὐτὸς ὁ Ἡφαιστίων μνημονεύει ὅλως τοιούτου τινός. Μονόμετρον δὲ ὑπερκατάληκτόν ἐστιν οἷον τὸ

φαείνοισά μοι.

Τοῦτο δὲ ἐπίσημόν ἐστι πενθημιμερὲς ὀνομαζόμενον, ὅτι τοῦ πέντε τὸ ἥμισυ ἔχει· μετρούμενον γὰρ κατὰ δισυλλαβίαν δύο ἡμίσυ δισυλλαβίας εὑρίσκεται ἔχον. Τὸ αὐτὸ δὲ καὶ δοχμαϊκὸν ὀνομάζεται ἢ ἀπὸ ἔθνους οὕτως ὀνομαζομένου ἢ ἀπὸ τοῦ πρώτως αὐτῷ χρησαμένου ἢ παρ' ὅσον, (ὡς) ἔνιοί φασι, πλάγιόν τινα ῥυθμὸν ἔχει καὶ οὐκ ὀρθότατον.

σπάστων, τὸ δὲ μικτὸν καταρχὰς τρέπεται εἰς τὰ τέσσαρα εἴδη τῶν δισυλλάβων καὶ δέχεται ἐπὶ τέλους ἴαμβον, ὃ καὶ Ἀνακρεόντειον καὶ Γλυκώνειον καλεῖται.

Ὅτι οὐκ ἔχει τὸ ἀντισπαστικὸν μονόμετρον εἰ μὴ μόνον ὑπερκατάληκτον, ὃ καὶ δοχμιακὸν λέγεται καὶ πενθημιμερές. ἀπὸ ἔθνους δοχμιακόν.

Δίμετρον δέ ἐστι καταληκτικὸν μὲν τὸ

πολεῦντος πότνιά με.

Τοῦτο δὲ ἐφθημιμερὲς καλεῖται, τρεῖς ἥμισυ ἔχον δισυλλαβίας, αἵ εἰσιν ἥμισυ τοῦ ἑπτά. Ταὐτὸ τοῦτο καὶ Φερεκράτειον λέγεται, ὡς κατακόρως τούτῳ χρησαμένου τοῦ Φερεκράτους. Πολλῷ δὲ αὐτῷ κέχρηται καὶ ἡ ποιήτρια Κορίννη. Δίμετρον δὲ ἀκατάληκτόν ἐστιν οἷον τὸ

ἐν ὄρφναις μὲν ἀφεγγέσι.

Τοιαῦτα δέ εἰσιν, ὅσον κατὰ τὸ δίμετρον ἀκατάληκτον, καὶ τὰ ἰδίᾳ ἡμῖν τεθέντα εἰς παράδειγμα τῶν συμμίκτων ἀντισπαστικῶν. Ὀνομάζονται δὲ τὰ τοιαῦτα δίμετρα, ὡς καὶ ἀνώτερον ἔφαμεν, Γλυκώνειά τε καὶ Ἀνακρεόντεια. Δίμετρον δὲ ὑπερκατάληκτον, ὅπερ καὶ Σαπφικὸν καὶ Ἱππωνάκτειον ὀνομάζεται, ἅτε δὴ Σαπφοῦς καὶ Ἱππώνακτος κατακόρως αὐτῷ χρησαμένων, τὸ 31

λύοισα δνοφερὰν κνέφαος.

Τοῦτο δὲ ἕνα μόνον τὸν πρῶτον ἀντίσπαστον ἔχει, ἓξῆς δὲ διποδίαν ἰαμβικὴν καὶ μίαν περιττὴν συλλαβήν. Τοῦτο δὲ καὶ ἐννεασύλλαβον λέγεται αὐτό· ἐννέα γὰρ ἔχει τὰς ὅλας αὐτοῦ συλλαβάς. Καὶ δίμετρα μὲν ταῦτα.

Δίμετρον καταληκτικὸν τὸ καὶ Φερεκράτειον τόδε

πολεῦντος πότνιά μεν.

ἐχρήσατο τούτῳ καὶ Κόριννα. Δίμετρον ἀκατάληκτον σύμμικτον Ἀνακρεόντειον καὶ Γλυκώνειον τόδε

ἢ ὄρφναις μὲν ἀφεγγέσι.

Δίμετρον ὑπερκατάληκτον τὸ Σαπφικὸν καὶ Ἱππωνάκτειον τόδε

λύοισα δνοφερὰν κνέφαος.

Τρίμετρον δὲ καταληκτικὸν μὲν τὸ ἐξ ἑνὸς μόνου ποδὸς ἀντισπαστικοῦ, τῶν δὲ ἑξῆς ἰαμβικῶν, τὸ προκείμενον ἔπος τὸ

λύοισα δνοφερὰν κνέφαος ὁρμάν.

Τοῦτο δὲ καὶ Φαλαίκειον λέγεται, τοῦ ποιητοῦ Φαλαίκου πλειστάκις αὐτῷ χρησαμένου. Τὸ ἀκατάληκτον δὲ τρίμετρον, ὅταν τὴν τελευταίαν μόνην ἔχῃ ἰαμβικήν, τὰς πρὸ αὐτῆς δὲ δύο ἀντισπαστικάς, Ἀσκληπιάδειον λέγεται οἷον

ἀφεγγέσσι φαείνοισα, κέλευθον αὖ.

Πολλῷ δὲ τῷ τοιούτῳ καὶ Ἀλκαῖος χρῆται. Τρίμετρον δὲ ὑπερκατάληκτον εἴη ἂν τὸ

ὁδῷ δ' εἰν ἀβάτῳ καὶ παρ' ἐρήμαισιν ὤν.

καὶ τρίμετρα μὲν ταῦτα.

Τετράμετρα δέ, καταληκτικὸν μέν, τῶν προκειμένων ἐπῶν ἕκαστον ὡς τὸ

πολεῦντος πότνιά μευ παρομάρτευ ἐπίκουρος·

ὃ δὴ καὶ καθαρόν ἐστι καὶ τοῖς παλαιοῖς ποιηταῖς τοιοῦτον ἐπιτηδεύεται. Ἀκατάληκτον δὲ τετράμετρόν ἐστιν οἷον τὸ

πολεῦντος πότνιά μευ παρομάρτευ ἐπίκουρος εὖ·

Τρίμετρον καταληκτικὸν τὸ καὶ Φαλαίκειον ὅπερ ἐξ ἑνὸς μόνου ἀντισπάστου, τῶν δὲ ἄλλων ἰάμβων τόδε

λύοισα δνοφερὰν κνέφαος ὁρμάν.

Τὸ ἀκατάληκτον δὲ τρίμετρον ὅταν τὴν τελευταίαν μόνην ἔχει ἰαμβικήν, τὰς δὲ δύο ἀντισπαστικὰς Ἀ(σ)κληπιάδειον λέγεται. Χρῆται δὲ τῷ τοιούτῳ μέτρῳ καὶ Ἀλκαῖος. Ἀκατάληκτον τετράμετρόν ἐστι τὸ

πολεῦντος πότνιά μευ παρομά(ρ)τευ ἐπίκουρος εὖ,

(ὃ) δὴ μόνον τὴν τελευταίαν διποδίαν ἰαμβικὴν ἔχει, τοὺς πρὸ αὐτοῦ δὲ πόδας ἀντισπάστους. Σαπφικὸν δὲ ὀνομάζεται ἑνδεκασύλλαβον καὶ Ἀλκαϊκόν.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



ἰωνικοῖς καλουμένοις μέτροις, ... παρ' ὅσον ἐκεῖνα μέν, ὅτι καὶ μᾶλλον ἦσαν ἐπίμικτα, ἐπὶ τέλει τοὺς ἰάμβους δεχομένων, χοριαμβικῶν φησὶ καὶ ἀντισπαστικῶν, ... ἐφεξῆς καὶ περὶ τῶν ἰωνικῶν διεξέλθωμεν τῶν τοὺς τροχαίους δεχομένων πρὸς τῷ τέλει. Ἰωνικοὶ δέ εἰσι δύο καὶ ἄμφω τετρασύλλαβοι, ὧν ὁ μὲν ἀπὸ μείζονος λέγεται ὁ ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν συλλαβῶν, ὁ δὲ ἀπ' ἐλάσσονος ὁ ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν. Εἰλήφασι δὲ τὴν ὀνομασίαν ἀπ' αὐτῆς τῆς τῶν βραχειῶν ἢ μακρῶν συλλαβῶν προκατάρξεως.

Πρότερον μὲν περὶ τοῦ ἀπὸ μείζονος ἐροῦμεν. Προτετίμηται γὰρ οὗτος διά τε τοῦτο αὐτὸ τὸ ἀπὸ μακρῶν ἄρχεσθαι, ὡς μεῖζον ἐλάττονος, καὶ διὰ τὸ πολ(λ)ὴν συγγέν(ε)ιαν ἔχειν πρὸς τὸ πρὸ μικροῦ ῥηθέν τε καὶ προαχθὲν μέτρον, λέγω δὴ τὸ ἀντισπαστικόν· μιᾶς γὰρ συλλαβῆς τῆς πρώτης ἀφαιρηθείσης τοῦ καθαροῦ ἀντισπαστικοῦ, γενήσεται τὸ μέτρον καθαρὸν ἰωνικὸν ἀπὸ μείζονος, ὥσπερ αὖ τῷ καθαρῷ ἰωνικῷ μιᾶς συλλαβῆς κατ' ἀρχὰς προτεθείσης ἀντισπαστικὸν τὸ μέτρον γένοιτ' ἄν. 33

Τὸ τοίνυν ἰωνικὸν συντίθεται μὲν καὶ καθαρόν, συντίθεται δὲ καὶ ἐπίμικτον, ὅταν ἐπὶ τέλει δέχηται, ὡς ἔφαμεν, τοὺς τροχαίους. Περὶ μὲν οὖν τοῦ καθαροῦ ἐνταῦθα ἐροῦμεν· περὶ δέ γε τοῦ ἐπιμίκτου ἰδίᾳ διελάβομεν, ἔνθα καὶ περὶ τοῦ συμμίκτου ἰωνικοῦ τοῦ ἀπ' ἐλάσσονος. Ἔστι δὲ ἡ ἀρχὴ τῶν τοιούτων ἐπῶν αὕτη

ἐν ἀφανέσ(σ)ι βελέμνοις.

Περὶ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος.

Ὅτι τὸ καθαρὸν ἰωνικὸν τὸ ἀπὸ μείζονος κατὰ πᾶσαν χώραν τὸ ἰωνικὸν δέχεται, ἐν δὲ ταῖς ἀρτίαις καὶ τὸν μολοσσόν.

Ἐκεῖ γὰρ μετὰ ἡ στίχους ἰωνικοὺς ἀπ' ἐλάσσονος δύο κεῖνται ἰωνικοὶ ἀπὸ μείζονος σύμμικτοι. Τὸ γοῦν καθαρὸν ἰωνικὸν κατὰ πᾶσαν χώραν τὸν ὁμώνυμον αὐτῷ ἰωνικὸν παραδέχεται. Δέχεται δὲ καὶ ἐν ταῖς ἀρτίαις, τουτέστι $\overline{\beta}$ *καὶ* $\overline{\delta}$*, τοὺς μολοσσούς. Μολοσσὸς δέ ἐστι πούς ὁ ἐκ τριῶν μακρῶν, οὕτως ὀνομαζόμενος διὰ τὸ μήκιστος εἶναι τῶν τρισυλλάβων ποδῶν πάντων ἢ διὰ τὸ εὑρεθῆναι τὴν τοιαύτην ῥυθμοποιίαν ὑπό τινος ἔθνους οὕτω λεγομένου.*

Εἰσὶ δ' ἐν τούτῳ τῷ μέτρῳ δίμετρά τε καὶ τρίμετρα καὶ τετράμετρα καὶ πεντάμετρα. Ἐν δὲ τούτοις τὰ μὲν βραχυκατάληκτα, τὰ δὲ καταληκτικά, τὰ δὲ ἀκατάληκτα, τὰ δὲ ὑπερκατάληκτα. (Μετρεῖται δὲ κατὰ μονοποδίαν.)

Δίμετρον μὲν οὖν ἐστὶ βραχυκατάληκτον τοῦτο καὶ λάβρον ἐρύκοις.

Δίμετρον δὲ καταληκτικὸν τὸ

ἐν δ' ἀμερίῳ φωτί.

Τοῦτο δὲ καὶ ἐπίσημόν ἐστιν, ἐφθημιμερὲς καλούμενον, ὅτι τρεῖς ἥμισυ ἔχει δισυλλαβίας, αἵ εἰσιν 34
ἥμισυ τοῦ ἑπτά. Πολλῷ τῷ τοιούτῳ ἡ ποιήτρια Τελέσιλλα κέχρηται. Δίμετρον δέ ἐστιν ἀκατάληκτον τὸ

χὡς παῖς πόκα πότνα σέθεν.

Ὅτι τὸ ἰωνικὸν ἀπὸ διμέτρου καὶ ἕως εἰς τὰ πεντάμετρα. Ἀποθέσεις δὲ ἔχει καταληκτικόν, ὑπερκατάληκτον, ἀκατάληκτον, βραχυκατάληκτον. Μετρεῖται κατὰ μονοποδίαν.

Δίμετρον βραχυκατάληκτον τόδε

ἐν δ' ἀμερίῳ φωτί.

καλεῖται Τελεσίλειον. Δίμετρον ἀκατάληκτον

χὡς παῖς πόκα πότν[ι]α σέθεν.

καλεῖται δὲ Κλεομάχειον. Δίμετρον ὑπερκατάληκτον

καὶ λάβρον ἐρύκοισα νεφῶν.

Τοῦτο δὲ καὶ Κλεομάχειον λέγεται, ὅτι πολλῷ αὐτῷ ὁ ποιητὴς Κλεόμαχος χρῆται, ὃς πύκτης μὲν πρότερον, ὥς φασιν, ἦν, ἐρασθεὶς δέ τινος νέου, τὴν ποιητικὴν μετεχειρίσατο. Δίμετρον δέ ἐστιν ὑπερκατάληκτον τὸ

καὶ λάβρον ἐρύκοισα[ν] νεφῶν.

καὶ δίμετρα μὲν ταῦτα.

Τρίμετρα δέ, βραχυκατάληκτον μὲν πάλιν τὸ

χὠς παῖς πόκα πότνα σὸς ἐφ᾽ ἄμμιν.

Ταῦτα δὲ Πραξίλλεια καλεῖται, τῆς ποιητρίας Πραξίλλης κατακόρως αὐτοῖς χρησαμένης. Καὶ ἡ Σαπφω δὲ πολλαχοῦ φαίνεται τούτοις χρωμένη. Ἐπὶ δὲ τοῦ τοιούτου τριμέτρου καὶ ἀντὶ τοῦ δευτέρου ποδὸς αἱ εἰρημέναι ποιήτριαι τροχαϊκὴν τιθέασι διποδίαν. Τρίμετρον δέ ἐστι καταληκτικὸν τὸ

ἐν δ᾽ ἀμερίῳ φωτὶ φλέγοισά με.

Τρίμετρον δὲ ἀκατάληκτον οἷον τὸ

ἐν δ᾽ ἀμερίῳ φωτὶ φλέγοισαν ζέσιν.

Τὰ τοιαῦτα τρίμετρα διχῶς συντιθέασιν οἱ Αἰολεῖς, τοῖς τροχαϊκοῖς συμπλέκοντες ποσί. Πῶς δέ, εἴρηται ἡμῖν ἰδίᾳ, ἔνθα καὶ περὶ τοῦ διμέτρου ἀπ᾽ ἐλάσσονος ἰωνικοῦ διειλήφαμεν, ὡς καὶ ἄνωθεν ἔφαμεν. Τρίμετρον δὲ ὑπερκατάληκτόν ἐστι τὸ

καὶ λάβρον ἐρύκοισα νεφῶν ὀμβροφόρων.

καὶ τρίμετρα μὲν ταῦτα.

Τετράμετρα δέ, βραχυκατάληκτον μέν, οἷον τὸ

Ὅτι τὸ τρίμετρον βραχυκατάληκτον Πραξίλλειον καλεῖται καὶ Σαπφικόν. Ἰστέον δέ, ὅτι ἐν τῷ τοιούτῳ τριμέτρῳ βραχυκαταλήκτῳ ἡ εἰρημένη Πραξίλλεια καὶ ἡ Σαπφὼ ἀντὶ τοῦ δευτέρου ποδὸς τροχαϊκὴν τιθέασι διποδίαν. Τετράμετρον βραχυκατάληκτον τόδε

χὠς παῖς πόκα (πότνα) σὸς ἐφ᾽ ὕμμιν τερατουργεῖς.

λέγεται δὲ Σωτάδειον.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

ἐστι τῷ ἀπὸ μείζονος ἰωνικῷ, καθόσον τοῦτο μὲν τὸ ἀπ' ἐλάσσονος, ἀπὸ πυρριχίου ἀρχόμενον, εἰς σπονδεῖον καταλήγοντα τῶν ποδῶν ἕκαστον ἔχει ὅτε ἐστὶ καθαρόν, τὸ δ' ἀπὸ μείζονος ἀνάπαλιν ἀπὸ σπονδείου ἀρχόμενον καὶ περαιούμενον εἰς πυρρίχιον, κατ' ἐκεῖνο γοῦν τέτακται τοῦτο τὸ ἀπ' ἐλάσσονος ἰωνικὸν ἀναγκαίως. Συντίθεται δὲ καὶ τοῦτο ὁτὲ μὲν καθαρόν, ὁτὲ δὲ ἐπίμικτον πρὸς τὰς τροχαϊκὰς διποδίας. Καὶ ὅτε μὲν καθαρόν ἐστι, κατὰ πᾶσαν χώραν τὸν ὁμώνυμον αὐτῷ δέχεται πόδα, λέγεται δὴ τὸν ἀπ' ἐλάσσονος ἰωνικὸν καὶ ἐν ταῖς περιτταῖς, τουτέστι πρώτῃ, τρίτῃ, πέμπτῃ, τοὺς μο- 36
λοττούς. Καὶ τοῦτο εὐλόγως· εἰ γὰρ ἐν ταῖς ἀρτίαις τούτους ἐδέχετο, ἐπαλληλία πολλὴ καὶ συνέχεια ἐγίνετ' ἂν τῶν μακρῶν φωνηέντων. Διὰ γὰρ τοῦτο καὶ ἐν τοῖς ἀπὸ μείζονος ἰωνικοῖς ἐν ταῖς ἀρτίαις χώραις τοὺς μολοττούς, ὡς ἔφαμεν, ἐλαμβάνομεν· εἰ γὰρ ἐν τῇ πρώτῃ χώρᾳ ὁ μολοττὸς ἔκειτο πούς ἐκ τριῶν συγκείμενος μακρῶν, ἑξῆς δὲ καὶ τὰ δύο μακρὰ πάλιν τοῦ ἀπὸ μείζονος ἰωνικοῦ ἐπήγοντο, πολλὴν ἂν ἀρ(ρ)υθμίαν ἡ τῶν πέντε μακρῶν ἐπιφορὰ ἐνεποίει. Ὅτε μὲν οὖν καθαρόν ἐστι τὸ ἰωνικὸν ἀπ' ἐλάσσονος μέτρον, ὅπερ ἐλέγομεν, τούτους δέχεται τοὺς πόδας· ὅτε δὲ ἐπίμικτόν ἐστι, καὶ ἐπὶ τέλει τροχαϊκὴν δέχεται διποδίαν ἢ μονό-

---

Περὶ ἰωνικοῦ τοῦ ἀπ' ἐλάσσονος.

Ὅτι καὶ τὸ ἀπ' ἐλάσσονος καθαρὸν ἰωνικὸν ἐν πάσῃ χώρᾳ τὸν ὁμώνυμον δέχεται ἰωνικόν, ἐν δὲ ταῖς περιτταῖς τὸν μολοσσόν, ἐναντίως τῆς ἀπὸ μείζονος. Τὸ δὲ ἐπίμικτον ἐπὶ τέλους τροχαϊκὴν ἢ διποδίαν ἢ μονοποδίαν, τὸν πρὸ τῶν τροχαίων δὲ πόδα οὐ δέχεται καθαρὸν ἰωνικόν, ἀλλὰ παίωνα τρίτον, ὅς ἐστιν ἐκ δύο βραχέων καὶ μακρᾶς καὶ βραχείας.

Ὅτι καὶ τοῦτο ἀπὸ διμέτρου ἄρχεται μέχρι πενταμέτρου.

μετρον, τὸν πρὸ τῶν τροχαίων πόδα οὐ δέχεται καθαρὸν ἰωνικόν, ἀλλὰ παίωνα τρίτον, ὅς ἐστιν ἐκ δύο βραχε(ι)ῶν καὶ μακρᾶς καὶ βραχείας. Περὶ μὲν οὖν τῶν καθαρῶν τε καὶ ἐπιμίκτων ἀπ' ἐλάσσονος ἰωνικῶν ὁμοῦ καὶ ἐν ἑτέρῳ ποιηματίῳ προειλήφαμεν, οὗ ἡ ἀρχή, ὡς καὶ ἐν τοῖς ἀνωτέρω εἴπομεν

Ἐν ἀφανέσ(σ)ι βελέμνοις
κραδίην μέσην γυναικός.

Ἐκεῖ γὰρ ἐναλ(λ)ὰξ ὁ μὲν εἷς καθαρός, ὁ δ' ἕτερος ἐπίμικτος, τῇ τροχαϊκῇ διποδίᾳ προεκκείμενον ἔχων παίωνα τρίτον. Κἀνταῦθα τῶν ἐκκειμένων ἓξ στίχων οἱ μὲν τρεῖς ἰωνικοί εἰσι καθαροί, οἱ δὲ λοιποὶ τρεῖς ἐπίμικτοι.

Εἰσὶ δὲ ἐν τούτῳ τῷ μέτρῳ δίμετρά τε καὶ τρίμετρα καὶ τετράμετρα καὶ πεντάμετρα· καὶ τούτων τὰ μὲν βραχυκατάληκτα, τὰ δὲ καταληκτικά τε καὶ ἀκατάληκτα καὶ ὑπερκατάληκτα, ὁμοίως τῷ ἀπὸ μείζονος ἰωνικῷ.

Καὶ δίμετρον μὲν βραχυκατάληκτόν ἐστιν οἷον τὸ

διάγοις ἁβλαβῆ. 37

Δίμετρον δὲ καταληκτικὸν ὡς τὸ

διάγοις ἁβλαβέα.

Δίμετρον καταληκτικὸν
διάγοις ἁβλαβέα.

λέγεται δὲ Τιμοκρεόντειον. Δίμετρον ἀκατάληκτον
ἀπάγοις ἐκ κακότητος.

Τοῦτο δὲ ὅταν συμμίγνυται τῇ τροχαϊκῇ μονοποδίᾳ καὶ πρὸ αὐτῆς, ὡς εἴπομεν, τὸν παίωνα τρίτον δέχεται, καὶ Ἀνακρεόντειον ὀνομάζεται οἷον

κραδίην μέσην γυναικὸς
ἔδραμον δύσοιστον οἶμον.

Ταῦτα δὲ τοῖς νεωτέροις καὶ ἄλλως ποδίζεται διὰ τὸ σαφέστερον, οἶμαι, ἦγουν ἐξ ἀναπαίστου, δύο ἰάμβων καὶ συλλαβῆς.

Τοῦτο δὲ ἐπισημειοῦνται οἱ παλαιοὶ ὡς ἐνδοξότατον· ἐφθημιμερὲς γάρ ἐστι. Καὶ πολλῷ Τιμοκρέων κέχρηται τούτῳ. (*Δίμετρον δὲ ἀκατάληκτον*)

ἀπάγοις ἐκ κακότητος.

Τοῦτο δὲ ἐπισημότατον γίνεται, ὅταν συμμίγνυται τῇ τροχαϊκῇ διποδίᾳ, καὶ πρὸ αὐτῆς, ὡς εἴπομεν, τὸν τρίτον παίωνα δέχεται, οἷά εἰσι τὰ προκείμενα τρία ἔπη τὰ μετὰ τοὺς τρεῖς καθαροὺς ἰωνικούς. Τὸ δ' αὐτὸ καὶ Ἀνακρεόντειον ὀνομάζεται, ὡς αὐτῷ κατακόρως χρησαμένου τοῦ Ἀνακρέοντος. Ποδίζεται δὲ τοῖς νεωτέροις διὰ τὸ σαφέστερον, οἶμαι, ἄλλως ἤπερ ἔφαμεν· ἐξ ἀναπαίστου γὰρ καὶ δύο ἰάμβων καὶ μιᾶς κοινῆς συλλαβῆς τοῦτο μετροῦσιν οἱ νῦν. Δίμετρον δὲ ὑπερκατάληκτόν ἐστιν οἷον τὸ

ἐνάγοισ' εἰς θαλέθοισάν με.

καὶ δίμετρα μὲν ταῦτα.

Τρίμετρα δέ, βραχυκατάληκτον μὲν αὖ οἷον τὸ

ἀπάγοις ἐκ κακότητος νύ με·

καταληκτικὸν δὲ τρίμετρον οἷον τὸ

διάγοισ' ἀβλαβέα παντοδαπᾶν.

Καὶ τούτῳ δὲ κατακόρως κέχρηται Διονύσιος ὁ ποιητής. Ἀκατάληκτον δέ ἐστι τρίμετρον

ἀπάγοις ἐκ κακότητος μογεροῦ νυ.

Καὶ τοῦτο τὸ μέτρον πολύ ἐστι παρὰ Ἀνακρέοντι καὶ Σαπφοῖ. Τρίμετρον δὲ ὑπερκατάληκτον τὸ

ἐνάγοις εἰς θαλέθοισαν μυρίοις γαῖαν.

καὶ τρίμετρα μὲν ταῦτα.

Καταληκτικὸν τρίμετρον,

διάγοις ἀβλαβέα παντοδαπᾶν.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



Γαλ(λ)ιαμβικὰ μὲν διὰ τὸ (Γα)λλοὺς οἵτινες ἱερεῖς ἦσαν τῆς Δήμητρος τῷ τοιούτῳ μέτρῳ πρὸς ὕμνον τῆς τῶν θεῶν μητρὸς χρῆσθαι· διὰ ταῦτα γὰρ καὶ Μητρῳακά. Ἢ παρ' ὅσον ἀνειμένον καὶ ἔκλυτον τὸ ἐπίμικτόν ἐστιν ἰωνικόν. Καὶ οἱ Γαλ(λ)οὶ δέ, οἵ εἰσιν ἔθνος τι, τοιοῦτοι μαλακοὶ καὶ θήλειαν νόσον ἔχειν διαβαλλόμενοι. Ἀνακλώμενα δὲ διὰ τὴν αἰτίαν, ἣν ἔφαμεν ἀνωτέρω, παρ' ὅσον ὁ ἐν τοῖς τοιούτοις ῥυθμὸς ἀνακλᾶται πρὸς τὸ χαῦνον καὶ μαλακόν. Ἔνδοξά εἰσι καὶ ἀκατάληκτα τετράμετρα, ἃ μιᾷ συλλαβῇ τῶν προκειμένων ἐπῶν περιττεύουσι. Σαπφώ τε γὰρ κέχρηται τούτοις καὶ Ἀλκμὰν καὶ Ἀλκαῖος ὁ ποιητής.

Καὶ πέρα μὲν τούτων οὐχ εὕρηταί τις τῶν ἡμῶν γνωρίμων χρώμενος τοῖς ἀπ' ἐλάσσονος ἰωνικοῖς· εἰ δ' εἰσίν, ὥς τινές φασι, καὶ πεντάμετρα, ἐκ τῶν 39 *ῥηθέντων ἄν κἀκεῖνα οὐκ ἀγνοήσαιμεν.*

Περὶ παιωνικοῦ.

Τὸ παιωνικὸν καλούμενον μέτρον τοῖς παλαιοῖς καὶ κρητικὸν ὀνομάζεται, ἐκ κρητικῶν γὰρ ὅλων ποδῶν σύγκειται ἐνίοτε. Κρητικὸς δέ ἐστι ποὺς ὁ καὶ ἀμφίμακρος λεγόμενος, ὡς καὶ ἐν ἄλλοις προείπομεν, ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς συλλαβῆς. Τούτου τοῦ κρητικοῦ εἰ μὲν ἡ τελευταία μακρὰ λυθείη εἰς δύο βραχε(ί)α(ς), ποιεῖ τὸν καλούμενον πρῶτον παίωνα, (τὸν) ἐκ μακρᾶς καὶ τριῶν

ἔθνος εἰσὶ κέκληται. Τοῖς ἀκαταλήκτοις τετραμέτροις Σαπφὼ καὶ Ἀλκμὰν καὶ Ἀλκαῖος ἐχρήσατο.

Περὶ τοῦ παιωνικοῦ.

Ὅτι τὸ παιωνικὸν καὶ κρητικὸν λέγεται. κρητικὸς δὲ ποὺς ὁ ἀμφίμακρος.

βραχειῶν, οἷον ἐχθρότατος. Εἰ δ' ἡ πρώτη μακρὰ λυθείη εἰς δύο βραχε(ί)α(ς), τὸν λεγόμενον τέταρτον παίωνα ποιεῖ, τὸν ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς, οἷον φιλολόγοι. Τέσσαρες γάρ εἰσιν οἱ παίωνες τετρασύλλαβοι· ὁ πρῶτος ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν· ὁ δεύτερος ἐκ βραχείας καὶ μακρᾶς καὶ δύο βραχειῶν, οἷον ὁμώνυμος. Ὁ τρίτος ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας, οἷον θεότιμος· ὁ τέταρτος ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς. Κρητικὸν μὲν οὖν τὸ μέτρον τοῖς παλαιοῖς ὅπερ ἐλέγομεν ὠνομάζετο· ἐπεὶ δὲ πολλοὶ τῶν κωμικῶν τε καὶ τραγικῶν, ἐξαιρέτως δὲ καὶ ὁ Ἀριστοφάνης, τοῦ κρητικοῦ τὴν διάλυσιν ἐποιήσαντο (εἰς) πρῶτον ἢ τέταρτον παίωνα καὶ ὡς ἐπὶ τὸ πολὺ εἰς πρῶτον, παιωνικὸν ὠνομάσθη διὰ τοῦτο. Ἔνιοι δὲ τῶν παλαιῶν μετρικῶν καὶ αὐτοῦ τοῦ τετάρτου παίωνος (τοῦ) ἐκ τριῶν βραχειῶν καὶ μακρᾶς, τὰς β' βραχε(ί)ας συλλαβάς, τὴν δευτέραν φημὶ καὶ τὴν τρίτην, εἰς μίαν συναιροῦντες μακράν, ἐκ βακχείων τὸ παιωνικὸν μέτρον προσέθηκαν. Βακχεῖος γάρ ἐστι πους ὁ ἐκ βραχείας καὶ δύο μακρῶν, οἷον νοήμων. Τινὲς δὲ καὶ τοῦ πρώτου παιωνικοῦ τὴν δευτέραν καὶ τρίτην συλλαβήν, αἵ εἰσι βραχεῖαι, εἰς μίαν μακρὰν συναιροῦντες, ἐκ παλιμβακχείων τὸ παιωνικὸν μέτρον συνέθηκαν. Παλίμβάκχειος γάρ ἐστι πους ὁ ἐκ β' μακρῶν καὶ βραχείας, οἷον τὸ εὐκταῖσιν. Πλὴν σπάνιον τὸ ἐκ παλιμβακχείων παιωνικὸν καὶ ὡς ὁ Ἡφαιστίων αὐτός φησι ἀνεπιτήδειον.

Τῶν δὲ λοιπῶν ἐνδοξότατον μὲν καὶ πολυθρυλ-

Ὅτι ἀπὸ διμέτρου εἰς ἑξάμετρον χωρεῖ. καὶ μετρεῖται κατὰ μονοποδίαν. βραχυκατάληκτον οὐκ ἔστιν ἐν αὐτῷ.

λητότατον τὸ ἐκ πρώτων παιώνων, ᾧ δὴ καὶ Ἀριστοφάνης κατακόρως κέχρηται, οὗ δὴ καὶ ἡμεῖς εἰς παράδειγμα τοὺς τρεῖς ἐξαρχῆς τεθείκαμεν στίχους· καὶ τὸ ἐξ ὅλων κρητικῶν ποδῶν ἐπίσημόν ἐστι τοῖς παλαιοῖς, οὗ εἰς ἔνδειξιν ἓν ἔπος καὶ ἡμεῖς ἐπάγομεν· τὸ δ' ἐξ ὅλων βακχείων ποδῶν ὡς ἐπ' ἔλαττον εὑρίσκεται (ἐπὶ) τοῖς παλαιοῖς, ὅμως μέντοι εἰς ὑπόδειγμα καὶ τούτου ἕνα στίχον ἐξεθέμεθα τὸν τελευταῖον.

Δύναται δὲ τὸ μέτρον τοῦτο ὡς Ἡφαιστίων λέγει καὶ μέχρι πενταμέτρου καὶ ἑξαμέτρου προκόπτειν. Εἰσὶ δὲ καὶ ἐν τούτῳ τῷ μέτρῳ καταληκτικά τε καὶ ἀκατάληκτα καὶ ὑπερκατάληκτα. Βραχυκατάληκτα γὰρ ἴσως, ὡς οἱ πρὸ ἡμῶν μετρικοί φασιν, οὐ δεῖ ζητεῖν ἐν τῷδε τῷ μέτρῳ· ἐπὶ γὰρ τῶν κρητικῶν οὐδὲ ἐγχωρεῖ ὅλως.

Δίμετρον μὲν καταληκτικὸν παιωνικὸν οἷον το

στρατὸν ἀπερείσιον.

Μονόμετρον γάρ, οἶμαι, οὐ δεῖ ζητεῖν ὅλως οὐδ' ἐπὶ τούτῳ τῷ μέτρῳ, ὡς οὐδ' ἐν τοῖς ὄπισθεν τοῖς ἐκ τετρασυλλάβων ποδῶν ἔπεσιν, ἵνα μὴ συνεμπίπτωσι τοῖς ἐκ δισυλλάβων ποδῶν. Κρητικὸν δὲ δίμετρον καταληκτικὸν τὸ

ῥύσι' ἄσαιμι.

Τὸ ἔνδοξον οὖν σύγκειται ἐκ πρώτων παιώνων, ᾧ καὶ Ἀριστοφάνης κέχρηται. ἐπίσημον δέ ἐστι καὶ τὸ ἐκ κρητικῶν ποδῶν συγκείμενον. τὸ δ' ἐξ ὅλων βακχείων ποδῶν ἐπ' ἔλαττον εὑρίσκεται.

Δίμετρον καταληκτικὸν

στρατὸν ἀπερείσιον.

κρητικὸν δὲ καταληκτικὸν

ῥύσι' ἄσαιμι.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

καὶ τρίμετρα μὲν ταῦτα.

Τετράμετρον δὲ πάλιν καταληκτικὸν παιωνικὸν ἕκαστον τῶν προκειμένων τριῶν ἐπῶν· ἃ δὴ καὶ ἐπισημότατά εἰσιν, ὡς ἔφαμεν. Διὰ τοῦτο γὰρ καὶ ἡμῖν εἰς παράδειγμα παρελήφθησαν. . . . . κρητικὸν δὲ οἷον τὸ

ἵνα τοι ῥύσι᾽ ἄσαιμι σωθεὶς βρόχων γε.

Ὁμοίως δὲ καὶ πεντάμετρα καὶ ἑξάμετρα κρητικά. Τὸ ὅλον δὲ τὸ

ἵνα τοι ῥύσι᾽ ἄσαιμι σωθεὶς βρόχων ἀντιπάλων

τοῦ Ἀλκμᾶνος ὠνόμασται, ὅτι πολλῷ ἐχρήσατο τῷ τοιούτῳ μέτρῳ Ἀλκμάν, ὥσπερ καὶ Βακχυλίδης.

Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἡμεῖς μὲν καθαρῶν παιωνικῶν τε καὶ κρητικῶν καὶ βακχειακῶν τεθείκαμεν παραδείγματα· ἔνιοι δὲ τῶν παλαιῶν ποιητῶν συμπλέκουσι τοῖς παιωνικοῖς καὶ πόδας κρητικούς, ὥσπερ δὴ ἐνίοτε καὶ βακχειακούς. Τὰ μέντοι ἐξαίρετα ταῦτά εἰσι, τὰ εἰς ὑποδείγματα ἡμῖν ἐκτεθέντα. Ἔσχατον μέντοι καὶ τὸ παιωνικὸν τέτακται μέτρον τοῖς παλαιοῖς μετρικοῖς καὶ δὴ καὶ ἡμῖν, παρ᾽ ὅσον μονώτατόν ἐστι καὶ οὐδενὶ τῶν πρὸ αὐτοῦ μέτρων ἐπιπλεκόμενον ἢ οἰκειούμενον, ὡς τὰ ἰωνικὰ καὶ ἀλλήλοις καὶ τὸ χοριαμβικὸν καὶ τὸ ἀντισπαστικὸν καὶ τὰ λοιπά, ὡς προείπομεν.

Καὶ περὶ μὲν τῶν ἁπλῶν καὶ ἀμίκτων μέτρων τοσαῦτα. 42

Τετράμετρον δὲ ἀκατάληκτον κρητικὸν (. . . . . .)

ἵνα τοι ῥύσι᾽ ἄσαιμι σωθεὶς [ἐκ] βρόχων ἀντιπάλων.

καὶ Ἀλκμανικὸν καλεῖται καὶ Βακχυλίδιον.

Ἰστέον δὲ ὅτι ἔνιοι τῶν παλαιῶν ποιητῶν συμπλέκουσι τοῖς παιωνικοῖς καὶ πόδας κρητικοὺς καὶ βακχειακοὺς ἐνίοτε.

BIBLIOTHECA GRAECA

CURANTIBUS

FR. JACOBS ET VAL. CH. FR. ROST.

Aeschinis oratio in Ctesiphontem, notis instr. I. H. Bremi. *ngl* *Ngr.*
8. mai. 1826 . . . . . — 7½

Aeschyli Agamemno, illustr. R. H. Klausen. Ed. II. ed. R. Enger. 8. mai. 1863 . . . . . 1 7½

—— Choephorae, illustr. R. H. Klausen. 8. mai. 1835 — 22½

Anacreontis carmina, **Sapphus** et **Erinnae** fragmenta, annotatt. illustr. E. A. Moebius. 8. mai. 1826 . . . . — 6

Aristophanis Nubes. Ed. illustr. praef. est W. S. Teuffel. Ed. II. 8. mai. 1863 . . . . . — 12

Delectus epigrammatum Graecorum, novo ordine conc. et comment. instr. Fr. Jacobs. 8. mai. 1826 . . . . — 18

Demosthenis conciones, rec. et explic. H. Sauppe. Sect. I. (cont. Philipp. I. et Olynthiacae I—III.) Ed. H. 8. mai. 1845 . . . . . — 10

Euripidis tragoediae, ed. Pflugk et Klotz. Vol. I, II et III. Sect. I—III. 4 27

Einzeln:

Medea. Ed. II. 15 *ngl* — Hecuba. Ed. II. 12 *ngl* Andromacha. Ed. II. 12 *ngl* Heraclidae. Ed. II. 12 *ngl* Helena. Ed. II. 12 *ngl* — Alcestis. Ed. II. 12 *ngl* Hercules furens. 18 *ngl* — Phoenissae. 18 *ngl* — Orestes. 12 *ngl* — Iphigenia Taurica 12 *ngl* — Iphigenia quae est Aulide. 12 *ngl*

Hesiodi carmina, recens. et illustr. C. Goettling. Ed. II. 8. mai. 1843 . . . . . 1 —

Einzeln:

Theogonia. 7½ *ngl* — Scutum Herculis. 5 *ngl* — Opera et dies. 10 *ngl* — Homeri certamen, fragmenta et vita Hesiodi. 15 *ngl*

Homeri Ilias, varietat. lect. adi. Spitzner. Sect. I—IV. 8. mai. 1832—36 . . . . . 1 15

Einzeln:

Sect. I. lib. 1—6. 9 *ngl* — Sect. II. lib. 7—12. 9 *ngl* Sect. III. lib. 13—18. 13½ *ngl* — Sect. IV. lib. 19—24. 13½ *ngl*

Die einzige Ausgabe der Ilias, welche den kritischen Apparat vollständig enthält.

Lysiae et **Aeschinis** orationes selectae, ed. I. H. Bremi. 8. mai. 1826 . . . . . — 15

Lysiae orationes selectae, ed. I. H. Bremi. 8. mai. 1826 — 9

Pindari carmina cum deperditarum fragm., variet. lect. adi. et comment. illustr. L. Dissen. Ed. II. cur. F. G. Schneidewin. Vol. I. 1843 . . . . . 1 9

—— Vol. II. Sect. I. II. (Comment. in Olymp. et Pyth.) 1846. 47. (à 15 Ngr.) . . . . . 1 —

Platonis opera omnia, recensuit, prolegomenis et commentariis instruxit G. Stallbaum. X Voll. (21 Sectiones). 8. mai. 1836—65. compl. 21 15

Platonis opera omnia. Einzeln: ℳ Ngr.

Apologia Socratis et Crito. Ed. IV. 1858. 24 ngℊ — Phaedo. Ed. IV. 1866. 27 ngℊ — Symposium c. ind. Ed. III. 1852. 22½ ngℊ — Gorgias. Ed. III. 1861. 24 ngℊ Protagoras. Ed. III. c. ind. 1865. 18 ngℊ — Politia sive de republica libri decem. 2 Voll. Ed. II. 2 ℳ 15 ngℊ Einzeln: Vol. I. Lib. I—V. 1858. 1 ℳ 12 ngℊ, Vol. II. Lib. VI—X. 1859. 1 ℳ 3 ngℊ — Phaedrus. Ed. II. 1857. 24 ngℊ — Menexenus, Lysis, Hippias uterque, Io. Ed. II. 1857. 27 ngℊ — Laches, Charmides, Alcibiades I. II. Ed. II. 1857. 27 ngℊ — Cratylus cum ind. 1835. 27 ngℊ — Euthydemus. 1836. 21 ngℊ — Meno et Euthyphro itemque incerti scriptoris Theages, Erastae et Hipparchus. 1836. 1 ℳ 12 ngℊ -- Timaeus et Critias. 1838. 1 ℳ 24 ngℊ — Theaetetus. 1839. 1 ℳ 12 ngℊ — Sophista. 1840. 27 ngℊ — Politicus et incerti auctoris Minos. 1841. 27 ngℊ — Philebus. 1842. 27 ngℊ — Leges. Vol. I. Lib. I—IV. 1858. 1 ℳ 6 ngℊ, Vol. II. Lib. V—VIII. 1859. 1 ℳ 6 ngℊ, Vol. III. Lib. IX—XII. — Epinomis. 1860. 1 ℳ 6 ngℊ

Sophoclis tragoediae, rec. et explan. E. Wunderus. 2 Voll. 8. mai. 1847—57 . . . . . 3 —

Einzeln:

Philoctetes. Ed. III. 12 ngℊ — Oedipus tyrannus. Ed. IV. 12 ngℊ — Oedipus Coloneus. Ed. III. 18 ngℊ — Antigona. Ed. IV. 12 ngℊ — Electra. Ed. III. 12 ngℊ — Aiax. Ed. III. 12 ngℊ — Trachiniae. Ed. II. 12 ngℊ

Thucydidis de bello Peloponesiaco libri VIII, explan. E. F. Poppo. 4 Voll. 8. mai. 1856—1866 . . . . . 4 —

Einzeln:

Lib. I. Ed. II. 1 ℳ — Lib. II. Ed. II. 22½ ngℊ — Lib. III. 18 ngℊ — Lib. IV. 15 ngℊ — Lib. V. 15 ngℊ — Lib. VI. 18 ngℊ — Lib. VII. 15 ngℊ — Lib. VIII. 15 ngℊ — Indices et de historia Thucydidea commentatio. 20 ngℊ

Xenophontis Cyropaedia, comment. instr. F. A. Bornemann. 8. mai. 1838 . . . . . — 15

—— Memorabilia (Commentarii), illustr. R. Kühner. 8. mai. 1858. Ed. II. . . . . — 26

—— Anabasis (expeditio Cyri min.), illustr. R. Kühner. 1852. 1 6

Einzeln à 18 Ngr.:

Sect. I. Lib. I—IV. Sect. II. Lib. V—VIII.

—— Oeconomicus, rec. et explan. L. Breitenbach. 8. mai. 1841. . . . . — 15

—— Agesilaus ex ead. recens. 8. mai. 1843 . . . . — 12

—— Hiero ex ead. rec. 8. mai. 1844. . . . . — 7½

—— Hellenica, Sect. I. (lib. I. II.), ex ead. rec. 8. mai. 1853. — 12

—— —— Sect. II. (lib. III—VII.) ex ead. rec. 8. mai. 1863. 1 18

Unter der Presse befindet sich:

Pindari carmina edd. L. Dissen et F. W. Schneidewin. Sect. II. Fasc. III.: Commentarius in Carmina Nemea et Isthmia nec non in fragmenta ab E. de Leutsch confectus.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



LIPSIAE: TYPIS B. G. TEVBNERI

IOANNI LVDOVICO HEIBERG

S

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

ARISTOPHANIS CANTICA

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page



σπονδὰς ποησάμενος ἐμαυ- ¯ia ˘ia
τῷ, πραγμάτων τε καὶ μαχῶν ¯ia ia 4
καὶ Λαμάχων ἀπαλλαγείς. ¯ia ia 2 16
πολλῷ γάρ ἐσθ' ἥδιον, ὦ ¯ia ¯ia 2
Φαλῆς, Φαλῆς, ia 1
κλέπτουσαν εὐρόνθ' ὡρικὴν ὑληφόρον, ¯ia ¯ia ¯ia 3
τὴν Στρυμοδώρου Θρᾷτταν ἐκ τοῦ Φελλέως ¯ia ¯ia ¯ia 3
μέσην λαβόντ' ἄραντα κατα- ia ia˘
βαλόντα καταγιγαρτίσαι. ia˘ ia 4
[ὦ] Φαλῆς, Φαλῆς, ia 1
ἐὰν μεθ' ἡμῶν ξυμπίῃς, ia ¯ia 2 16
ἐκ κραιπάλης ¯ia 1
ἔωθεν εἰρήνης ῥοφήσει[ς] τρυβλίον. ia ¯ia ¯ia 3
ἡ δ' ἀσπὶς ἐν τῷ φεψάλῳ κρεμήσεται. ¯ia ¯ia ia 3 7

280—83

οὗτος αὐτός ἐστιν, οὗτος. .tro tro
βάλλε βάλλε βάλλε βάλλε, tro tro 4
παῖε παῖε τὸν μιαρόν. tro cr˘
οὐ βαλεῖς; οὐ βαλεῖς; cr cr 4

ΑΜΟΙΒΑΙΟΝ

Δ(ΙΚΑΙΟΠΟΛΙC) Χ(ΟΡΟC)

284—301 = 335—46

(interiectis Δ coryphaeique tetr troch IV IV IV IV : IV ı ı III III IV, in summa XXXII)

Δ Ἡράκλεις, τουτὶ τί ἐστι;
τὴν χύτραν συντρίψετε. *tetram* 4
Χ σὲ μεν οὖν
καταλεύσομεν, ὦ ν ⏑— 1
μιαρὰ κεφαλή. ν ⏑— ν ⏑— 4
Δ ἀντὶ ποίας αἰτίας, ὦ-
χαρνέων γεραίτατοι; *tetram* 4
Χ τοῦτ' ἐρωτᾷς; ἀναίσχυντος εἶ καὶ βδελυρός, cr cr cr cr˘ 4
ὦ προδότα τῆς πατρίδος, ὅστις ἡμῶν μόνος cr˘ cr˘ cr cr˘ 4
σπεισάμενος εἶτα δύναται πρὸς ἔμ' ἀποβλέπειν. cr˘ cr˘ cr˘ cr 4

Δ ἀντὶ δ' ὧν ἐϲπειϲάμην οὐκ ἴϲατ'· ἀλλ' ἀκούϲατε.	*tro⁻ tro⁻* ˅ ?*lecyth*	4
Χ ϲοῦ γ' ἀκούϲωμεν; ἀπολεῖ· κατά ϲε χώϲομεν τοῖϲ λίθοιϲ·	*cr* *cr*˘˘ *cr*˘˘ *cr* *cr*	$\overline{1}$ 4
Δ μηδαμῶϲ πρὶν ἄν γ' ἀκούϲητ' ἀλλ' ἀνάϲχεϲθ', ὦγαθοί.	*tetram*	-
Χ οὐκ ἀναϲχήϲομαι. μηδὲ λέγε μοι ϲὺ λόγον· ὡϲ μεμίϲηκά ϲε Κλέωνοϲ ἔτι μᾶλλον, ὃν ἐγὼ [κατα]τεμῶ τοῖϲιν ἱππεῦϲι καττύματα.	*cr* *cr* *cr*˘˘ *cr*˘˘ *cr* *cr*˘˘ *cr*˘˘ *cr*˘˘ *cr*˘˘ *cr* *cr*	4 4 4 25

287 ss cf Griech Singv 82² 295 ἀκούϲομεν-˘ 296 (γ') ἂν 299 ϲύ (μοι) 300 ἵππ. ποτ' ἐϲ κ.

De creticis quos statuimus 285 = 336 (∾ 295. 342) leviuscule quasi praeacutis cf ad pac 385 ss a nobis adnotata et appendix. Nam procul omnino habendus (285) quinarius enoplius, de quo non dubitandum in stropha utique enoplia avv 456 = 544; anapaestos vero quinarios cogitare ne tironibus quidem fas est. De lecythii forma praeacuta (294 : 341) item cf append.

358—63 = 385—90

			theses
τί οὖν οὐ λέγειϲ	δ		
ἐπίξηνον ἐξενεγκὼν θύραζ',	δ	δ	$\overline{9}$
ὅ τι ποτ', ὦ ϲχέτλιε, τὸ μέγα τοῦτ' ἔχειϲ;	δ	δ	6
πάνυ γὰρ ἔμε γε πόθοϲ ὅ τι φρονεῖϲ ἔχει.	δ	δ	6

Subsequuntur bina coryphaei trim iamb (12)

490—96

			metra
τί δράϲειϲ; τί φήϲειϲ; ⟨ἀλλ'⟩ ἴϲθι νυν	δ	δ	3
ἀναίϲχυντοϲ ὢν ϲιδηροῦϲ τ' ἀνήρ,	δ /	δ	3
ὅϲτιϲ παραϲχὼν τῇ πόλει τὸν αὐχένα	*trim*		3ΗΥ
ἅπαϲι μέλλειϲ εἶϲ λέγειν τἀναντία.	*trim*		3ΗΥ
ἀνὴρ οὐ τρέμει τὸ πρᾶγμ'. εἶά νυν	δ /	δ	3
ἐπειδήπερ αὐτὸϲ αἱρεῖ, λέγε.	δ	δ	3

566—71

ἰὼ Λάμαχ', ὦ βλέπων ἀϲτραπάϲ,	δ	δ	3	
βοήθηϲον, ὦ γοργολόφα, φανείϲ·	δ	δ	3	
ἰὼ Λάμαχ', ὦ φίλ', ὦ φυλέτα.	δ	δ	3_H	9
εἴτε τιϲ ἔϲτι ταξίαρχόϲ ⟨τιϲ⟩ ἢ [ϲτρατηγὸϲ ἢ]	δ	δ	3	
τειχομάχαϲ ἀνήρ, βοηθηϲάτω	δ	δ	3	
τιϲ ἁνύϲαϲ, ἐγὼ γὰρ ἔχομαι μέϲοϲ.	δ	δ	3	9

490 *ba ba cr* 494 ἀνῄροῦ, δ δ Sudhaus Rh Mus 65, 1910, 309 495 marg 18 570 τειχόμαχοϲ

ΠΑΡΑΒΑϹΙϹ

625—718

Antecedunt strophas tetram anap duo (pro commatio), tum tetram xxxi et dimetrorum series (ii : ii; ii).

665—75 = 692—702

δεῦρο Μοῦϲ' ἐλθὲ φλεγυρά, πυρὸϲ ἔ-	*cr*	*cr*˘˘	˘˘		3
χουϲα μένοϲ ἔντονοϲ Ἀχαρνική·	*cr*˘˘	*cr*˘˘			3
οἷον ἐξ ἀνθράκων πρινίνων φέψαλοϲ ἀν-	*cr*	*cr*		*cr*˘	4
ήλατ' ἐρεθιζόμενοϲ οὐρίᾳ ῥιπίδι,	*cr*˘˘	*cr*˘˘		*cr*	4
ἡνίκ' ἂν ἐπανθρακίδεϲ ὦϲι παρακείμεναι,	*cr*˘˘	*cr*˘˘	˘˘	*cr*	4
οἱ δὲ Θαϲίαν ἀνακυκ[λ]ῶϲι λιπαράμπυκα,	*cr*˘˘	*cr*˘˘	˘˘	*cr*	4
οἱ δὲ μάττωϲιν, οὕτω ϲοβαρὸν	*cr*	*cr*	˘˘		3
ἐλθὲ μέλοϲ ἔντονον ἀγροικότερον	*cr*˘˘	*cr*˘˘	˘˘		3
ὡϲ ἐμὲ λαβοῦϲα τὸν δημότην.	*cr*˘˘	*cr*	*cr*		$\overline{3}$

Sequuntur tetram troch sena dena.
665—75 marg xiv xiv [iii]

836—41 = 42—47 = 48—53 = 854—59

εὐδαιμονεῖ γ' ἄνθρωποϲ. οὐκ	¯*ia*	⏑̄*ia*	2	
ἤκουϲαϲ οἷ προβαίνει	⏑̄*ia*	*ba*	2	4
τὸ πρᾶγμα τοῦ βουλεύματοϲ;	⏑̄*ia*	⏑̄*ia*	2	
καρπώϲεται γὰρ ἁνήρ	⏑̄*ia*	*ba*	2	4
ἐν τἀγορᾷ καθήμενοϲ·	⏑˘˘*ia*	⏑̄*ia*	2	
κἂν εἰϲίῃ τιϲ Κτηϲίαϲ	⏑̄˘˘*ia*	¯*ia*	2	4
ἢ ϲυκοφάντηϲ ἄλλοϲ, οἰ-	¯*ia*	⏑̄*ia*	2	
μώζων καθεδεῖται.	⏑̄ — ⏑	⏑ — —	2	4

(*pherecr aceph*)

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

HISTORY

Tens of thousands of important historical sources, many previously unobtainable, are now available for the first time with a Forgotten Books Full Membership.

Unlimited Access
$8.99/month

Continue

*Fair usage policy applies

ΑΜΟΙΒΑΙΟΝ

1008—17 = 1037—46.

Χ Ζηλῶ σε τῆς εὐβουλίας,
μᾶλλον δὲ τῆς εὐωχίας,
ἄνθρωπε, τῆς παρούσης.
Δ τί δῆτ', ἐπειδὰν τὰς κίχλας
ὀπτωμένας ἴδητε;
Χ οἶμαί σε καὶ τοῦτ' εὖ λέγειν.
Δ τὸ πῦρ ὑποσκάλευε.
Χ ἤκουσας ὡς μαγειρικῶς
κομψῶς τε καὶ δειπνητικῶς
αὐτῷ διακονεῖται;

ΠΑΡΑΒΑΣΙΣ Β΄

1150—61 = 1162—73

(antecedentibus coryphaei anapaestis IV : IV; V)

'Αντίμαχον τὸν Ψακάδος,
τὸν ?ξυγγραφῆ. τὸν μελέων
πο(ι)ητήν,
ὡς μὲν ἁπλῷ λογῷ κακῶς
ἐξολέσειεν ὁ Ζεύς·
ὅς γ' ἐμὲ τὸν τλήμονα Λή-
ναια χορηγῶν ἀπέλυς'
ἄδειπνον.
ὃν ἔτ' ἐπίδοιμι τευθίδος
δεόμενον, ἣ δ' ὠπτημένη
σίζουσα πάραλος, ἐπὶ τραπέζῃ κειμένη,
ὀκέλλοι κᾆτα μέλλοντος λαβεῖν
αὐτοῦ κύων ἁρπάσασα φεύγοι.

ΑΜΟΙΒΑΙΟΝ

Λ(ΑΜΑΧΟΣ) Δ(ΙΚΑΙΟΠ) Χ(ΟΡΟΣ)

1190—1233

Λ ἀτταταῖ ἀτταταῖ
στυγερὰ τάδε γε κρυερὰ πάθεα τάλας ἐγώ,
διόλλυμαι δορὸς ὑπὸ πολεμίου τυπείς
ἐκεῖνο δ' αἰακτὸν [οἰμωκτὸν] ἂν γένοιτό μοι,
Δικαιόπολις [ἄν] εἴ μ' ἴδοι τετρωμένον
κᾆτ' ἐγχάνοι ταῖς ἐμαῖς τύχαισιν.

Δ ἀτταταῖ ἀτταταῖ	*cr*	*cr*	2	
τῶν τιτθίων, ὡϲ ϲκληρὰ καὶ κυδώνια.	*trim*		3	
φιλήϲατόν με μαλθακῶϲ, ὦ χρυϲίω,	*trim*		3	
τὸ περιπεταϲτὸν καὶ τὸ μανδαλωτόν.	⏑⏑*ia*	⏑*ia*	*ba* 3	
τὸν γὰρ χόα πρῶτοϲ ἐκπέπωκα.	*ia*	*ithyph*	3	
Λ ὦ ϲυμφορὰ τάλαινα τῶν ἐμῶν κακῶν.	*trim*		3	17
(Λ) ἰὼ ἰὼ τραυμάτων ἐπωδύνων.	*ia*	*lecyth*	3	
Δ ἰὴ ἰὴ χαῖρε Λαμαχίππιον.	*ia*	*lecyth*	3	
Λ ϲτυγερὸϲ ἐγώ. Δ τί με ϲὺ κυνεῖϲ;	⏑⏑*ia*	⏑⏑*ia*	2	
Λ μογερὸϲ ἐγώ. Δ τί με ϲὺ δάκνειϲ;	⏑⏑*ia*	⏑⏑*ia*	2	
Λ τάλαϲ ἐγὼ [τῆϲ ἐν μάχῃ] ξυμβολῆϲ βαρείαϲ.	*ia*	*ithyph*	3	13
Δ τοῖϲ Χουϲὶ γάρ τιϲ ξυμβολὰϲ ἐπράττετο;	*trim*		3	
Λ ἰὼ ἰώ, Παιάν, Παιάν.	*ia*	*sp*	*sp* 3	
